Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: lvi-ac

*Διονύσιος ὁ Θρᾷξ Τέχνη Γραμματικὴ ὑπόμνησις* · Commentary on Dionysius Thrax

# Marcian Scholia

*Σχόλια Μαρκιανά*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

1 SCHOLIA MARCIAN A . 〈 Περὶ προσῳδιῶ ν.〉 ..... α θηλυκὰ τῷ ι μόνῳ παραληγόμενα ἐκτείνει τὸ α καὶ συ〈στέλ〉λει τὸι · σεσημείωται τὸ ἴα καὶ μία· τὸ δὲ δῖα, ἡ ἐνδοξοτάτη, 〈ἐπιθε〉τικόν ἐστι κατ' ἐναντιότητα γραφόμενον. Διὰ τί εἶπε «τῷ ι μόνῳ παραληγόμενα»; Διότι ἐὰν ἔχῃ δίφθογγον, συστέλλει τὸ α , οἷον ὀξεῖα ταχεῖα εὐθεῖα καί τινα 〈ὅμοια〉 · λέγει γὰρ ὁ κανών, ὅτι τὰ εἰς α λήγοντα θηλυκὰ παρεσχηματισμένα ἀρσενικοῖς ὁμόχρονον ἔχουσι τὸ α τῷ τέλει τῆς γενικῆς τοῦ ἀρσενικοῦ, οἷον θεός θεοῦ θεά, ῥᾴθυμος ῥαθύμου ῥᾳθυμία, ὀξύς ὀξέος ὀξεῖα καί τινα ὅμοια χωρὶς τῶν ἀπὸ τοῦ ευω , οἷον χορεύω χορεία, ῥητορεύω ῥητορεία· ταῦτα γὰρ ἐκτείνουσι τὸ ᾱ. Πόσαι προσῳδίαι; Καταχρηστικῶς μὲν δέκα, ὀξεῖα, βαρεῖα, περισπωμένη, μακρά, βραχεῖα, δασεῖα, ψιλή, ἀπόστροφος, ὑφὲν καὶ ὑποδιαστολή· κυρίως δὲ ἑπτά, ὀξεῖα, βαρεῖα, περισπωμένη, μακρά, βραχεῖα, δασεῖα καὶ ψιλή. Ἡ γὰρ ἀπόστροφος, ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολὴ οὐκ εἰσὶ κυρίως προσῳδίαι, ἀλλὰ καταχρηστικῶς, ἐπειδὴ αἱ μὲν ἄλλαι συμπλεκόμεναι πρὸς ἀλλήλας χαρακτῆρα στοιχείων ἀποτελοῦσιν, ἀλλὰ καὶ αὐταὶ ἐκ τῶν στοιχείων γίνονται· τὸ γὰρ Λ διαιρούμενον εἰς δύο ποιεῖ ὀξεῖαν καὶ βαρεῖαν, τὸ δὲ Η καὶ αὐτὸ διαιρούμεον ὁμοίως εἰς δύο ποιεῖ ψιλὴν καὶ δασεῖαν, τὸ δὲ Θ κοπτόμενον εἰς τρία ποιεῖ περισπωμένην, μακράν τε καὶ βραχεῖαν· καὶ αὗται μόναι ἐπάνω τῶν λέξεων τίθενται· τὰ δὲ πάθη, ἤγουν ἡ ἀπόστροφος, ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολὴ μὴ δυνάμεναι χαρακτῆρα στοιχείων ἀποτελέσαι καταχρηστικῶς εἰσι προσῳδίαι καὶ οὐ κυρίως· διὸ καὶ κάτωθεν τῶν λέξεων τίθενται. Καὶ διὰ τί εἰσι προσῳδίαι καταχρηστικῶς δέκα; Διότι καὶ ὁ δέκατος ἀριθμὸς τέλειός ἐστιν. Εἰς πόσα διαιροῦνται αἱ δέκα προσῳδίαι· Εἰς τέσσαρα· εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα καὶ εἰς πάθη. Καὶ διὰ τί διαιροῦνται εἰς τέσσαρα; Διότι καὶ ὁ τέταρτος ἀριθμὸς γεννητικός ἐστι τοῦ δεκάτου, καὶ ὅτι ἡ τετρὰς πηγή ἐστι τῆς ἀϊδίου διακοσμήσεως, ὡς οἱ Πυθαγορικοὶ ἀποφαίνονται, καὶ ἡ αὐτὴ οὖσα τῷ δημιουργῷ, ἤγουν ὁ δημιουργός. Πῶς δὲ τετρὰς ὁ θεὸς αὐτός; Ἐκ τοῦ εἰς Πυθαγόραν ἀναφερομένου ἱεροῦ λόγου σαφῶς εὑρήσεις, ἐν ᾧ ἀριθμὸς ἀριθμῶν ὁ θεὸς οὗτος ὑμνεῖται· 〈ἐπειδὴ γὰρ〉 τὰ ὄντα πάντα ταῖς ἀϊδίοις αὐτοῦ βουλήσεσιν ὑφέστηκε, δῆλον ὡς καὶ ὁ ἀριθμὸς ἐν ἑκάστῳ εἴδει τῶν ὄντων τῆς ἐν ἐκείνῳ αἰτίας ἤρτηται· καὶ ὁ πρῶτος ἀριθμὸς ἐκεῖ, ἐκεῖθεν γὰρ κἀνταῦθα. Τοῦ δὲ ἀριθμοῦ τὸ πεπερασμένον διάστημα ἡ δεκάς· ὁ γὰρ ἐπὶ πλέον ἀριθμεῖν ἐθέλων ἀνακάμπτει πάλιν ἐπὶ τὸ ἓν καὶ δύο καὶ τρία 〈καὶ τέσσαρα〉 καὶ δευτέραν ἀριθμεῖ δεκάδα.

293

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Καὶ πῶς ὁ τέταρτος ἀριθμὸς ἤγουν ἡ τετρὰς γεννᾷ τὸν δέκατον ἀριθμόν; Ἐν τῷ μετρεῖν ἀπὸ τοῦ πρώτου ἕως τοῦ τετάρτου καὶ τελειοῦσθαι τὸν δέκατον ἀριθμόν. Καὶ ἄλλως· ὅτι μόνον ἐκ μονάδων ἀπήρτισται καὶ ὑπὲρ αὐτὸν ἕτερος ἀριθμὸς οὐκ ἔστι· πάντες γὰρ οἱ ὑπερβεβηκότες ἀριθμοὶ ἐκ πολυπλασιασμοῦ τούτου γίνονται. Καὶ πῶς μετρεῖς; πλάτυνον. Ἓν δύο τρία τέσσαρα, καὶ ἰδοὺ δέκα. Ποίησον σαφέστερον. Τὸ ἄλφα ἕν, τὸ βῆτα δύο, τὸ γάμμα τρία, τὸ δέλτα τέσσαρα, ἓν δὲ καὶ δύο καὶ τρία καὶ τέσσαρα εἰς δέκα ἀναβιβάζονται· ἓν γὰρ καὶ δύο τρία, καὶ τρία ἤτοι δὶς τρία ἕξ, μεθ’ ὧν τέσσαρα, καὶ ἰδοὺ δέκα· καὶ λοιπὸς ὑπὲρ τὸν δέκατον ἀριθμὸν οὐκ ἔστιν· ὁ γὰρ ἐπὶ πλέον, ὡς προέφημεν, ἀριθμεῖν ἐθέλων ἀνακάμπτει πάλιν ἐπὶ τὸ ἓν καὶ δύο καὶ τρία καὶ τέσσαρα καὶ δευτέραν ἀριθμεῖ δεκάδα πρὸς τὴν τῆς εἰκοσάδος συμπλήρωσιν· καὶ τρίτην ὁμοίως, ἵνα τριακοντάδα εἴπῃ, καὶ τοῦτο ἑξῆς, ἕως ἂν δεκάτην ἀριθμήσας δεκάδα εἰς ἑκατὸν προέλθῃ· καὶ πάλιν ἑκατὸν 〈κατὰ τὸν〉 αὐτὸν τρόπον ἀριθμεῖ, καὶ οὕτω μέχρις ἀπείρου τῷ τῆς δεκάδος διαστήματι ἀνακυκλουμένῳ προχωρεῖν δύναται. Τίς δὲ ἡ τῆς δεκάδος δύναμις; Ἡ τετράς· πρὸ γὰρ τῆς κατὰ διέξοδον τελειότητος ἐν τῇ δεκάδι τις τελειότης ἐν τῇ τετράδι θεωρεῖται, ὅτι κατὰ σύνθεσιν ἀπὸ μονάδος ἕως τετράδος δεκὰς τὸ πᾶν ἄθροισμα γίνεται· ἓν γὰρ καὶ δύο καὶ τρία καὶ τέσσαρα τὴν δεκάδα πληροῖ. Καὶ ἔστι μεσότης ἀριθμητικὴ μονάδος καὶ ἑβδομάδος ἡ τετράς· τῷ ἴσῳ γὰρ ἀριθμῷ ὑπερέχει καὶ ὑπερέχεται, τριάδι μὲν ἑβδομάδος λειπομένη, τριάδι δὲ μονάδα ὑπερβάλλουσα. Μονάδος δὲ καὶ ἑβδομάδος ἰδιώματα κάλλιστά εἰσι καὶ ἄριστα· ἡ μὲν γὰρ μονὰς ὡς ἀρχὴ παντὸς ἀριθμοῦ τὰς πάντων δυνάμεις ἐν ἑαυτῇ συνέχει, ἡ δὲ ἑβδομὰς ὡς ἀμήτωρ καὶ παρθένος τὴν τῆς μονάδος ἀξίαν δευτέρως ἔχει· οὔτε γὰρ γεννᾶται ἐξ ἀριθμοῦ τινος τῶν ἐντὸς δεκάδος, ὡς ὁ τέσσαρα ἐκ τοῦ δὶς δύο, καὶ ὁ ἓξ ἐκ τοῦ δὶς τρία, καὶ ὁ ὀκτὼ ἐκ τοῦ δὶς τέσσαρα, καὶ ὁ ἐννέα ἐκ τοῦ τρὶς τρία, καὶ ὁ δέκα ἐκ τοῦ δὶς πέντε, οὔτε γεννᾷ τινα τῶν ἐντὸς δεκάδος, ὡς ὁ δύο τὸν τέσσαρα, καὶ ὁ τρεῖς τὸν ἐννέα, καὶ ὁ πέντε τὸν δέκα. Τῆς δὴ ἀγεννήτου μονάδος καὶ τῆς ἀμήτορος ἑβδομάδος ἡ τετρὰς μέση κειμένη τὰς τῶν γεννών〈των καὶ τῶν〉 γεννωμένων δυνάμεις ἅμα συνείληφε, μόνη τῶν ἐντὸς δεκάδος καὶ γεννωμένη ὑπό τινος ἀριθμοῦ καὶ γεννῶσά τινα· ἡ γὰρ δυὰς ἑαυτὴν διπλασιάσασα τὴν τετράδα γεννᾷ, ἡ δὲ τετρὰς δὶς γενομένη τὸν ὀκτὼ ἀποτελεῖ. Καὶ στερεὰ πρώτη ἔμφασις ἐν τῇ τετράδι εὑρίσκεται· τὸ γὰρ σημεῖον ἀνάλογόν ἐστι μονάδι, ἡ δὲ γραμμὴ δυάδι, ἀπό τινος γὰρ ἐπί τι· καὶ τριάδι προσήκει ἡ ἐπιφάνεια, στοιχειωδέστερον γὰρ τῶν εὐθυγράμμων τὸ τρίγωνον· τὸ στερεὸν δὲ οἰκεῖον τῇ τετράδι· ἡ γὰρ πρώτη πυραμὶς ἐν τῇ τετράδι θεωρεῖται, τριγώνου μὲν βάσεως ὑποτεθείσης τοῦ τρία, κορυφῆς δὲ αὐτῇ ἐπιτεθείσης τοῦ ἑνός. Καὶ κριτικαὶ δυνάμεις ἐν τοῖς οὖσι τέσσαρες, νοῦς, ἐπιστήμη, δόξα, αἴσθησις· κρίνεται γὰρ τὰ ὄντα πάντα νῷ ἢ ἐπιστήμῃ ἢ δόξῃ ἢ αἰσθήσει. Καὶ ἁπλῶς πάντα τὰ ὄντα ἡ τετρὰς ἀνεδήσατο, 〈τὰ τῶν〉 στοιχείων, ἀριθμῶν, ὡρῶν τοῦ ἔτους, ἡλικιῶν, συνοικισμῶν, καὶ οὐκ ἔστιν εἰπεῖν, ὃ μὴ τῆς τετρακτύος ὡς ῥίζης καὶ ἀρχῆς ἤρτηται· ἔστι γάρ, ὡς ἔφαμεν, δημιουργὸς τῶν ὅλων καὶ αἰτία ἡ τετράς, θεὸς νοητός, αἴτιος τοῦ οὐρανίου καὶ αἰσθητοῦ κόσμου, ὥσπερ Ἱεροκλῆς τίς φησι φιλόσοφος τὴν γνῶσιν ἀπὸ τῶν Πυθαγορείων λαβών. Τί ἐστι τέλειος ἀριθμός; Οὗ τὰ μέρη διαιρούμενα καὶ συντιθέμενα ἀναπληροῦσι τὸν ὅλον, ὡς ὁ ἕξ· ἥμισυ γάρ, ἤτοι τὰ τρία, καὶ δύο, τουτέστι τὸ τρίτον, καὶ ἕκτον, ἤτοι ἕν, γίνονται ἕξ.

294 Πόσα εἴδη τῶν δέκα καταχρηστικῶς προσῳδιῶν; Τέσσαρα· τόνοι, χρόνοι, πνεύματα καὶ πάθη. Πόσοι τόνοι; Καταχρηστικῶς μὲν τρεῖς, ὀξεῖα, βαρεῖα, περισπωμένη· κυρίως δὲ δύο, ἡ ὀξεῖα καὶ ἡ περισπωμένη· ἡ γὰρ βαρεῖα συλλαβικὸς τόνος ἐστὶ καὶ οὐ κύριος· διὰ τοῦτο οὐδὲ τόπον ἴδιον ἔχει, τουτέστιν εἰς τὴν συλλαβὴν τὴν μὴ ἔχουσαν τὸν κύριον τόνον ἐτίθετο· ἀλλ’ ἵνα μὴ καταχαράσσωνται τὰ βιβλία, τοῦτο νῦν οὐ γίνεται, ἀλλ’ εἰς τὸν τόπον τῆς ὀξείας ἐν τῇ συνεπείᾳ τίθεται. —Διὰ τί εἰσι καταχρηστικῶς τρεῖς τόνοι; Διότι καὶ τρεῖς τρόποι εἰσὶ τῶν τεινόντων ἑαυτοὺς πρὸς δρόμον· εἰ γὰρ ὀρθός τις τρέχει, μιμεῖται τὴν ὀξεῖαν, εἰ δὲ συγκεκυφώς, μιμεῖται

τὴν βαρεῖαν, εἰ δὲ ἡνιοχευτικός, μιμεῖται τὴν περισπωμένην. Καὶ ἄλλως· ἐπειδὴ καὶ ἡ καθ’ ἡμᾶς κίνησις ἑξαχῶς γίνεται, ἄνω, κάτω, δεξιά, ἀριστερά, πρόσω, ὀπίσω· καὶ τὴν μὲν ἄνω κίνησιν ἡ ὀξεῖα μιμεῖται, τὴν δὲ κάτω ἡ βαρεῖα, τὴν δὲ δεξιὰ ἀριστερὰ πρόσω ὀπίσω μιμεῖται ἡ περισπωμένη. —Διὰ τί λέγονται τόνοι; Διότι πρὸς αὐτοὺς τείνομεν τὰς φωνὰς καὶ εὐρυτέρας ποιοῦμεν. Τί ἐστι τόνος; Ἐπίτασις ἢ ἄνεσις ἢ μεσότης συλλαβῶν εὐφωνίαν ἔχουσα. Καὶ ἄλλως· τόνος ἐστὶν ἀπήχησις φωνῆς ἐναρμονίου ἢ κατὰ ἀνάτασιν ἐν τῇ ὀξείᾳ, ἢ καθ’ ὁμαλισμὸν ἐν τῇ βαρείᾳ, ἢ κατὰ περίκλασιν ἐν τῇ περισπωμένῃ. Πόθεν τόνος; Ἀπὸ τοῦ τείνειν τὴν φωνήν. Τί ἐστιν ὀξεῖα; Ποιότης συλλαβῆς τεταμένον ἔχουσα φθόγγον. Πόθεν ὀξεῖα; Ἀπὸ τοῦ ὀξύς ὀξεῖα· τοῦτο ἀπὸ τοῦ ἔχω, ὃ δηλοῖ τὸ σπεύδω, παρ’ οὗ καὶ τὸ τρέχω. Πόθεν ὠνόμασται ὀξεῖα; Ἀπὸ μεταφορᾶς τῶν ὀξέων δοράτων· ἢ διὰ τὸ τοὺς ὀξεῖς ἥλους μιμεῖσθαι. Πόσους τόπους ἔχει ἡ ὀξεῖα; Τρεῖς, ὀξύτονον, παροξύτονον καὶ προπαροξύτονον. Τί ἐστιν ὀξύτονον; Τὸ ἐπὶ τέλους ἔχον τὴν ὀξεῖαν, οἷον καλός σοφός. Τί ἐστι παροξύτονον τὸ καὶ βαρύτονον; Τὸ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους ἔχον τὴν ὀξεῖαν, οἷον λέων Πέτρος Ἰωάννης. Τί ἐστι προπαροξύτονον; Τὸ πρὸ δύο συλλαβῶν τοῦ τέλους ἔχον τὴν ὀξεῖαν, οἷον Γεώργιος Θεόδωρος Προκόπιος. Διὰ τί τρεῖς τόπους ἔχει ἡ ὀξεῖα καὶ οὐ τέσσαρας; Ἐπειδὴ πᾶσα λέξις Ἑλληνικὴ ἁπλῆ οὐδέποτε ὑπερβαίνειν θέλει τὴν τρισυλλαβίαν. Τί ἐστι βαρεῖα; Ποιότης συλλαβῆς ὑφειμένον ἔχουσα φθόγγον. Πόθεν βαρεῖα; Ἀπὸ τοῦ μετὰ βίας αἴρεσθαι τουτέστι κουφίζεσθαι ἤτοι μετακινεῖσθαι· ἐκ τούτου γίνεται βαρύς, καὶ ἀπὸ τούτου βαρεῖα. Πόθεν ὠνόμασται βαρεῖα; Ἐκ μεταφορᾶς τῶν τὰ φορτία βασταζόντων καὶ εὐθεῖαν τρίβον ἀνυόντων, οἱονεὶ συγκεκυφυῖα καὶ μαλθακώτερον προσαγομένη καὶ ἐκλύτως. Διὰ τί ἴδιον τόπον οὐκ ἔχει ἡ βαρεῖα; Διότι ἡ βαρεῖα συλλαβικὸς τόνος ἐστὶ καὶ οὐ κύριος, τουτέστιν εἰς τὴν συλλαβὴν τὴν μὴ ἔχουσαν τὸν κύριον τόνον ἐτίθετο· ἀλλ’ ἵνα μὴ καταχαράσσωνται τὰ βιβλία, τοῦτο νῦν οὐ γίνεται, ἀλλ’ εἰς τὸν τόπον τῆς ὀξείας ἐν τῇ συνεπείᾳ ἐπὶ τέλους τίθεται. Τί ἐστι συνέπεια; Ἡ σύμφρασις καὶ ἡ συνακολούθησις τοῦ λόγου. Πῶς τίθεται ἡ βαρεῖα ἐν τῇ συνεπείᾳ; Οἷον «καλὸς ἄνθρωπος»· εἰ γὰρ ἦν ἐπὶ τέλους τὸ καλός, ἡ ὀξεῖα ἂν ἐπετέθη τῇ λος συλλαβῇ· ὅτι δὲ μετὰ ταῦτα εὑρέθη τὸ ἄνθρωπος, ἡ ὀξεῖα εἰς βαρεῖαν τέτραπται. Τί ἐστι περισπωμένη; Ποιότης συλλαβῆς ἀνειμένον 〈καὶ ὑφειμένον〉 ἢ κεκλασμένον ἔχουσα φθόγγον. Πόθεν περισπωμένη; Ἐκ τῆς περί προθέσεως καὶ τοῦ σπάομαι σπῶμαι· ὅθεν καὶ τὸ σπω μέγα γράφεται. Πόθεν ὠνόμασται περισπωμένη; Ἐκ τοῦ περικεκλάσθαι καὶ οἱονεὶ συνηρῆσθαι διὰ τὴν ἐξ ὀξείας καὶ βαρείας συναίρεσιν.

Πόσους τόπους ἔχει ἡ περισπωμένη; Δύο, περισπώμενον καὶ προπερισπώμενον. Τί ἐστι περισπώμενον; Τὸ ἐπὶ τέλους ἔχον τὴν περισπωμένην, οἷον Μηνᾶς Λουκᾶς Θωμᾶς καί τινα τούτοις ὅμοια. Τί ἐστι προπερισπώμενον; Τὸ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους ἔχον τὴν περισπωμένην, οἷον κῆπος δῆμος. Διὰ τί ἡ περισπωμένη δύο τόπους ἔχει καὶ οὐ τρεῖς; Διότι εἰ εἶχεν ἡ περισπωμένη τρεῖς τόπους, ὤφειλεν ἡ ὀξεῖα τόπους ἔχειν τέσσαρας, ὅπερ ἄτοπον· πρὸ γὰρ τριῶν συλλαβῶν τόνος οὐκ ἔστιν· ἄλλως τε δὲ ἀκριβῶς σκοποῦντι καὶ ἡ περισπωμένη τρεῖς τοὺς τόπους ἔχει τῆς ὀξείας· καὶ ἀναπληροῖ ὁ μὲν περισπώμενος τόπος 〈ὁ〉 μὴ ἀπὸ συναιρέσεως τὸν τόπον τοῦ ὀξυτόνου, οἷον Θωμᾶς Λουκᾶς, ὁ δὲ ἐκ συναιρέσεως τὸν τοῦ παροξυτόνου, οἷον Ἑρμέας Ἑρμῆς, ὁ δὲ προπερισπώμενος τόπος ὁ ἐκ συναιρέσεως ὀξείας καὶ δύο βαρειῶν τὸν τοῦ 〈προ〉 παροξυτόνου, οἷον ῥέεθρον ῥεῖθρον. Οὐδέποτε δὲ etc = Σ v 127, 29—128, 10 et 126, 15—24. —Ἔστιν οὖν εἰπεῖν, ὅτι διὰ τοῦτο ἡ περισπωμένη σύνθετος τόνος ἐστίν· ἐκ δύο γὰρ σύγκειται, ὡς τὸ Λ· τοῦτο γὰρ κοπτόμενον, ὡς προείρηται, ποιεῖ ὀξεῖαν καὶ βαρεῖαν, ὥσπερ τὸ Η κοπτόμενον ποιεῖ δασεῖαν καὶ ψιλήν, καὶ τὸ Θ κοπτόμενον ποιεῖ μακράν, βραχεῖαν καὶ περισπωμένην· ἐφ’ ᾧ καὶ τὴν ἀπόστροφον, τὴν ὑφὲν καὶ τὴν ὑποδιαστολὴν ὡς μὴ ἀπὸ στοιχείων γινομένας οὐ καλοῦσι κυρίως προσῳδίας, ἀλλὰ καταχρηστικῶς. Πόσοι χρόνοι ἐν ταῖς προσῳδίαις; Δύο, ἡ μακρὰ καὶ ἡ βραχεῖα. Καὶ διὰ τί ἐν ταῖς προσῳδίαις εἰρήκαμεν δύο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρόνους, ἐν δὲ τοῖς ῥήμασι τρεῖς; Ἐπειδὴ ἐκεῖ μὲν τὰς καιρικὰς διαστάσεις χρόνους φησίν, ἐνταῦθα δὲ μίμησιν ἔχει χρόνου κατά τε μακρότητα καὶ βραχύτητα· διὰ τοῦτο καὶ χρόνοι λέγονται, διὰ τὸ ἐν ἐκτάσει καὶ συστολῇ παραλαμβάνεσθαι. Καὶ διὰ τί εἰσι δύο χρόνοι; Διότι καὶ τῷ ἀνθρώπῳ δύο χρόνοι παρέπονται, ὁ παρὼν καὶ βλεπόμενος καὶ τέλος δὴ ἔχων, καὶ ὁ αἰώνιος, ἤγουν ὁ μέλλων καὶ ἀτελεύτητος· ὁ μὲν εἷς πολυχρόνιος, ὁ δὲ ἕτερος ὀλιγοχρόνιος· οὐ μὴν ἀλλὰ καὶ παρὰ τοῖς φιλοσόφοις δύο χρόνοι πρεσβεύονται· ὁ γὰρ ἐνεστὼς παρ’ αὐτοῖς σεσιώπηται διὰ τὸ ἄστατον καὶ ἀνεπίμονον τῆς αὐτοῦ ῥεύσεως. —Τί ἐστι χρόνος; Σημείωσις ἐκτεινομένου ἢ συστελλομένου φωνήεντος, ἐκτάσεως μὲν μακρά, συστολῆς δὲ βραχεῖα· ταῦτα γὰρ ἐτίθουν ἐπάνω τῶν φωνηέντων οἱ παλαιοὶ ἐπὶ δηλώσει συστολῆς καὶ ἐκτάσεως. Πόθεν χρόνος; Ἀπὸ τοῦ ῥέω ῥόνος καὶ προσθέσει τοῦ χ χρόνος· ἢ ἀπὸ τοῦ χεῖν καὶ ῥεῖν καὶ νάειν ἐκ τριῶν ταὐτοσημάντων λέξεων. —Τί ἐστι μακρὸς χρόνος; Σημείωσις ἐκτεινομένου φωνήεντος. Πόθεν μακρά; Ἀπὸ τοῦ μᾶκος (τὸ μῆκος) μακερὸς καὶ ἐκθλίψει τοῦ ε μακρός μακροῦ, καὶ τὸ θηλυκὸν μακρά. Ποῦ τίθεται ἡ μακρά; Εἰς δίχρονον ἐκτεταμένον. —Τί ἐστι βραχὺς χρόνος; Σημείωσις συστελλομένου φωνήεντος. Πόθεν βραχεῖα; Ἀπὸ τοῦ βραχύς· τοῦτο ἀπὸ τοῦ ῥᾷον, ὃ δηλοῖ τὸ εὔκολον, καὶ τοῦ χέω κατὰ πλεονασμὸν Αἰολικὸν τοῦ β , ὅτι οἱ Αἰολεῖς τὸ ῥᾷον βρᾷον λέγουσι καὶ τὸ ῥάκος βράκος. Ποῦ τίθεται ἡ βραχεῖα; Εἰς δίχρονον συνεσταλμένον, οἷον ἀγῐ͡ώτατος ἀνδρῐ͡κώτατος. Πόσα πνεύματα; Δύο, ἡ δασεῖα καὶ ἡ ψιλή. Διὰ τί εἰσι δύο πνεύματα; Διότι ἡ μὲν δασεῖα ἐκ τοῦ θώρακος ἐξέρχεται, ἡ δὲ ψιλὴ ἐξ ἄκρων τῶν χειλέων προφέρεται· καὶ διὰ τοῦτο οὐ προσέσχεν ὁ ποιητὴς τρίτῳ πνεύματι, τῆς φύσεως μὴ ἀπαιτούσης. Τί ἐστι πνεῦμα; Παρὰ μὲν τοῖς γραμματικοῖς σημείωσις δασυνομένου ἢ ψιλουμένου φωνήεντος, παρὰ δὲ τοῖς ῥήτορσι σύνθεσις λόγου διάνοιαν ἀπαρτίζοντος ἐν κώλοις καὶ κόμμασι μετρουμένου πρὸς τὴν διάρκειαν τοῦ πνεύματος κατὰ τὴν φωνὴν τοῦ λέγοντος.

296 Πόθεν πνεῦμα; Ἀπὸ τοῦ πνέω πνεύσω πέπνευκα πέπνευμαι πνεῦμα. Διὰ τί λέγονται πνεύματα; Διὰ τὸ τοῖς πνεύμασιν αὐτὰ παρεικασθῆναι. — Τί ἐστι δασεῖα; Ποιότης συλλαβῆς καθ’ ἣν ἐκ τοῦ θώρακος τὸ πνεῦμα ἐξέρχεται. Πόθεν δασεῖα; Ἀπὸ τοῦ δα ἐπιτατικοῦ μορίου καὶ τοῦ σεύω, ὃ δηλοῖ τὸ ὁρμῶ, τὸ πνεῦμα τὸ λίαν ὁρμητικόν. Ποῦ τίθεται ἡ δασεῖα; Εἰς φωνῆεν γράμμα δασυνόμενον, οἷον ἄλυσις Ἅιδης. —Τί ἐστι ψιλή; Ποιότης συλλαβῆς καθ’ ἣν ἄκροις τοῖς χείλεσι τὸ πνεῦμα προφέρεται. Ποῦ τίθεται ἡ ψιλή; Εἰς φωνῆεν γράμμα ψιλούμενον, οἷον εὐσεβής ἀσεβής. Πόθεν εἴρηται ψιλή; Ἀπὸ τοῦ ψῶ, ὃ δηλοῖ τὸ λεπτύνω, λεπτῶς γὰρ ἠχεῖ καὶ ἀμυδρῶς, ὅτι ἀσθενής ἐστιν. —Πόσα σημαίνει τὸ ψῶ; Πέντε· ψῶ τὸ λεπτύνω, ἀφ’ οὗ καὶ ψιλὸν στρατιώτην λέγομεν τὸν ἄοπλον καὶ γυμνὸν ἤτοι τὸν ἀσθενῆ καὶ ἀδύνατον· ψῶ τὸ προσεγγίζω καὶ ψαύω, ὅθεν καὶ ψώρα ἀπὸ τοῦ ἅπτεσθαι ἐν τῷ κνήθειν τὰ πεπονθότα μέρη τοῦ σώματος· ψῶ τὸ κόπτω, ἀφ’ οὗ καὶ ψωμός, ὁ εἰς μικρὰ μέρη κοπτόμενος ἄρτος· ψῶ τὸ τρίβω, ὅθεν καὶ τὸ 〈Ev. Luc. 6, 1〉 ψώχοντες τοὺς στάχυας, ἤγουν τρίβοντες· ψῶ τὸ καίω, ἀφ’ οὗ καὶ ψωλός ὁ κεραυνὸς ἢ ὁ δαλὸς ὁ κεκαυμένος. —Ἰστέον δὲ ὅτι δασυνομένου etc. = Σ v 125, 24—33 (ὑποδ.). Τί ἐστι πάθος; Φωνῆς πεπονθυίας σημεῖον τὰ ἡνωμένα καὶ διακεχωρισμένα διακρῖνον. Πόθεν εἴρηται πάθος; Ἀπὸ τοῦ ἔπαθον δευτέρου ἀορίστου. Πόσα πάθη; Τρία, ἃ προειρήκαμεν· ἀπόστροφος, ὑφὲν καὶ ὑποδιαστολή. Διὰ τί λέγεται πάθη; Διὰ τὸ ἐν ταῖς παθούσαις λέξεσι τίθεσθαι καὶ τοῦτο αὐτὸ δηλοῦν, ὅτι πέπονθέ τι ἡ λέξις. Τί ἐστιν ἀπόστροφος; Σημεῖον ἐκθλίψεως φωνήεντος ἢ φωνηέντων. Πόθεν ἀπόστροφος; Ἐκ τῆς ἀπό προθέσεως καὶ τοῦ στρέφω. Πόθεν ὠνόμασται ἀπόστροφος; Ἐξ αὐτῆς τῆς θέσεως, ἐπειδὴ ἐπὶ τὰ ἄνω ἀπέστραπται καὶ νεύει· ἢ ἐπὶ τὰ ἔσω νεύει καὶ ἐπὶ ἀποστρεφομένας λέξεις τίθεται τὴν ἐπαλληλίαν τῶν φωνηέντων, οἷον κατὰ ἡμῶν καθ’ ἡμῶν. Ποῦ τίθεται ἡ ἀπόστροφος; Ἐν τῇ ἐκθλίψει τοῦ ἑνὸς φωνήεντος τοῦ ἀπεκθλιβομένου διὰ τὴν καλλιφωνίαν, οἷον οὔτε αὐτός οὔτ’ αὐτός. Ἀντὶ ποίων φωνηέντων τίθεται ἡ ἀπόστροφος καὶ ἀντὶ πόσων; Ἀντὶ τεσσάρων τουτωνί, φημὶ δὴ ἀντὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βραχέος α , ἀντὶ τοῦ ε , ἀντὶ βραχέος ι καὶ ἀντὶ τοῦο · ἀντὶ τοῦ α , ὡς ἄρα οὗτος ἄρ’ οὗτος, ἀντὶ τοῦ ε , οἷον οὔτε εἶδον οὔτ’ εἶδον, ἀντὶ τοῦ ι , οἷον ἀμφὶ ἀγαθόν, 〈Π 165. Ρ 388〉 ἀμ φ ’ ἀγαθὸν θεράποντα, ἀντὶ τοῦ ο , ὡς τοῦτο ὅπερ ἐστί τοῦθ’ ὅπερ ἐστί, καὶ τοῦτο ἐκεῖνο τοῦτ’ ἐκεῖνο, καὶ τοῦτο οὕτως τοῦθ’ οὕτως. Τί ἐστιν ὑφέν; Σημεῖον συναφείας δύο λέξεων συγκειμένων ἢ παρακειμένων. Πόθεν εἴρηται ὑφέν; Ἐκ τῆς ὑπό προθέσεως καὶ τοῦ ἕν καὶ ἐκθλίψει τοῦ ο καὶ τροπῇ τοῦ π εἰς φ ὑφέν. Ποῦ τίθεται ἡ ὑφέν; Ἐν ταῖς συνθέσεσι τῶν λέξεων, ὅτε δύο λέξεις ἐν τῷ ἅμα ὀφείλουσι λέγεσθαι, οἷον ἀρχιστράτηγος φιλολόγος. Τί ἐστιν ὑποδιαστολή; Σημεῖον διαστάσεως γράμματος ἀμφιβαλλομένου περὶ τὴν σύνταξιν, οἷον ΕΣΤΙΝ, ΟΥΣ, ἤγουν ὑπάρχει ὠτίον· εἰς γὰρ τὸ ἔστιν ὑποδιαστολὴ τίθεται, ἵνα μὴ συντεθῇ μετὰ τοῦ οὖς τὸ ν καὶ νοηθῇ ὅτι νοῦς ἐστιν· οὕτως καὶ τὸ ΕΣΤΙ, ΝΑΞΙΟΣ, ἀπὸ τῆς νήσου Νάξου. Καὶ ἄλλως· τί ἐστιν ὑποδιαστολή; Διάστασις λέξεων περὶ τὴν σύνταξιν ἀμφιβαλλομένων. Ποῦ τίθεται ἡ ὑποδιαστολή; Ἐν οἷς ὀφείλει λέγεσθαι νοήματα 〈μετὰ〉 διαστολῆς, ὥστε διαστεῖλαι καὶ χωρίσαι λέξεις ἀπ’ ἀλλήλων, οἷον ΕΣΤΙΝ, ΑΞΙΟΣ, οὐκ ἀπὸ τῆς Νάξου νήσου, ἀλλὰ ἄξιος. Πόθεν ὑποδιαστολή; Ἐκ τῆς ὑπό καὶ διά προθέσεως καὶ τοῦ στέλλω, ὃ δηλοῖ τὸ χωρίζω. — Πόσα σημαίνει τὸ στέλλω; Τέσσαρα· στέλλω τὸ πέμπω, ὅθεν καὶ ἐπιστολή· στέλλω τὸ καλλωπίζω καὶ στολίζω, ὅθεν καὶ πυγοστόλος γυνὴ ἡ πόρνη ἡ τὴν πυγὴν στολίζουσα· στέλλω τὸ πλέω, ἀφ’ οὗ καὶ στόλος ἡ τῶν νεῶν ἔκπλοια· στέλλω τὸ κρύπτω, ἀφ’ οὗ καὶ συστολή καὶ ὑποστολή.

297 —Πόθεν ὠνόμασται ὑποδιαστολή; Ἀπὸ τοῦ ὑποδιαστέλλειν καὶ διαχωρίζειν τὰς λέξεις ἀπ’ ἀλλήλων· τὴν γὰρ ὑπό πρόθεσιν ἔχει καὶ οὐκ ἄλλην διὰ τὸ κάτωθεν τοῦ γράμματος τίθεσθαι, ὑφ’ ὃ τίθεται. —Τί διαφέρει ἡ ὑποδιαστολὴ τῆς ὑφέν; Διαφέρει κατὰ τοῦτο, ὅτι ἡ μὲν 〈ὑπο〉 διαστολὴ διαιρεῖ τὰ δοκοῦντα ἡνῶσθαι, ἡ δὲ ὑφὲν συνάπτει τὰ δοκοῦντα διῃρῆσθαι. Διὰ τί εἰσι τρία πάθη; Κατὰ μίμησιν τῶν τριῶν τόνων. Διὰ τί εἰσιν ἐν ταῖς προσῳδίαις δύο χρόνοι; Διότι πᾶν φωνῆεν ἢ ἕνα χρόνον ἐπιδέχεται ἢ δύο, οὐδέποτε δὲ πλείονας. Καὶ ταῦτα μὲν περὶ τούτων. Ἔνιοι δέ φασι περὶ τούτων οὕτως, ὅτι ὡς δέδεικται κυρίως προσῳδίαι εἰσὶν ἑπτά. Καὶ ἡ μὲν ὀξεῖα etc. = Σ v 125, 4—21; 126, 27—127, 24; 125, 33—126, 7; 128, 11—24 (ἁπλῶν). Ἑρμηνεία εἰς τὸ περὶ τέχνης. Νόμον ἴδιον ἐνόμισαν etc. = Proll. Voss. 4, 32—5, 17 (καλ.). Περὶ τέχνης. Ὅρος τέχνης. Τί ἐστι τέχνη; Μέθοδος ἐνεργοῦσα τῷ βίῳ τὸ συμφέρον. Καὶ ἄλλως· κτῆμα τιμιώτατον καὶ κατὰ πολὺ χρησιμώτατον πᾶσιν ἀνθρώποις τῶν ἐν τῷ βίῳ. Καὶ ἄλλως· κατὰ τοὺς Στωϊκοὺς σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. —Τί ἐστι σύστημα; Τὸ πλῆθος, οἱονεὶ ἑκάστου τεχνίτου τὸ ἐργαλεῖον· πλήθους γὰρ θεωρημάτων καὶ οὐχ ἑνὸς ἡ τέχνη μόνου δεῖται· ἀλλὰ μὴν καὶ ὕλης καὶ ὀργάνων, ἐπεὶ ὥσπερ πλῆθος ἐργαλείων ἐφευρεθέντων καὶ δοκιμασθέντων εἰς ἀποτέλεσμά τινος ἀναγκαίου καὶ χρησίμου [οὕτω καὶ] ἡμῖν. Τί ἐστιν «ἐκ καταλήψεων ἐγγεγυμνασμένων»; Ἐξ ἐφευρέσεων δεδοκιμασμένων καὶ ἐγνωσμένων· γυμνάσαι γάρ ἐστι τὸ εἰς φῶς ἀγαγεῖν. Διὰ τί εἶπε «πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ»; Διότι πᾶσα τέχνη νενόηται διὰ τὸ συμφέρον. Καὶ οἱονεὶ ὁ ὅρος τῆς τέχνης ἐστὶν οὗτος· «τέχνη ἐστὶ πλῆθος ἐργαλείων ἐξ ἐφευρέσεων δεδοκιμασμένων ἀφορῶσα εἰς ὠφέλειαν τῶν ἀνθρώπων εἰς ἀποτέλεσμά τινος ἀναγκαίου καὶ χρησίμου ἡμῖν·» οὐ γὰρ ἀθρόως αἱ τέχναι εὕρηνται, ἀλλ’ ἄλλος ἄλλο τι εὗρεν, ὁ μὲν τρυπάνιον, ὁ δὲ τὸ εἰς κάλλος ἀποξέειν τὰ ξύλα, ὁ δὲ σκέπαρνον, ὁ δὲ σμῖλαν ἢ ἄλλο τι· καὶ ταῦτα πάντα ὁμοῦ συνελόντες ἀπετέλεσαν τὴν τέχνην. Ποσαχῶς ἡ καθόλου τέχνη; Διχῶς, λογικὴ καὶ πρακτική. [Ποία λέγεται λογικὴ τέχνη; Ἡ διὰ τοῦ νοὸς μόνου παραλαμβανομένη, ὡς ἡ γραμματική]. Τί τὸ ἴδιον τῆς λογικῆς τέχνης; Τὸ πάντα μετὰ λόγου ποιεῖν καὶ λόγον ὑπὲρ ὧν ποιεῖ ἀποδιδόναι. Ποία λέγεται λογικὴ τέχνη; Ἡ διὰ τοῦ νοὸς μόνου παραλαμβανομένη, ὡς ἡ γραμματική, ῥητορική, ἰατρική. Ποία λέγεται πρακτικὴ τέχνη; Ἡ δι’ ὀργάνου ἐνεργουμένη, ὡς ἡ τεκτονική, χαλκευτικὴ καὶ πᾶσαι αἱ χειρωνακτικαὶ καὶ βάναυσοι. Τί διαφέρει ἡ λογικὴ τῆς πρακτικῆς; Ὅτι τὴν μὲν λογικὴν μόνος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ ἄνθρωπος ἐπίσταται, τὴν δὲ πρακτικὴν καί τινα τῶν ἀλόγων ζῴων. Τίς καλεῖται λογικός; Ὅστις μετὰ λόγου πράττει, οἷον γραμματικός, ῥητορικός. Τίς καλεῖται πρακτικός; Ὅστις μετὰ τῶν λοιπῶν ὀργάνων τοῦ σώματος καὶ τῆς χειρὸς πράττει, οἷον χαλκεύς, τέκτων.

298 —Πόσαι διαφοραὶ τῆς καθόλου τέχνης; Τέσσαρες· θεωρητική, πρακτική, ποιητικὴ καὶ μικτή. Τί ἐστι θεωρητική; Ὁποία διανοίᾳ θεωρεῖται καὶ λόγῳ μόνῳ κατορθοῦται, ὡς ἡ ἀστρονομία καὶ ἡ γεωμετρία. Τί ἐστι πρακτική; Ὅση δι’ ὀργάνου ἐνεργεῖται, ὡς ἡ κιθαριστική, ἡ αὐλητικὴ καὶ ἡ ὀρχηστική. Ποῖαι λέγονται πρακτικαί; Ὅσαι μέχρι τοῦ γεγονέναι ὁρῶνται καὶ μετὰ ταῦτα ἀπόλλυνται οὐδὲν ἴχνος ἑαυτῶν καταλιμπάνουσαι, ὡς ἡ αὐλητικὴ καὶ ἡ ὀρχηστική. Τί ἐστι ποιητική; Ἡ τῷ συμβουλεύειν διδάσκουσα εἰδέναι τὸ χρειῶδες. Ποῖαι λέγονται ποιητικαί; Ὅσαι ὕλην ἀδιατύπωτον λαβοῦσαι ἐποίησάν τι, ὃ καὶ μετὰ ταῦτα ὁρᾶται πρὸς μνήμην τοῦ δημιουργήσαντος, ὡς ἡ τεκτονική, ἡ ἀνδριαντοπλαστική, ἡ λαξευτική. —Αἱ δὲ ἐκ τούτων μικταί, αἳ θεωρητικῆς καὶ πρακτικῆς καὶ ποιητικῆς μετέχουσιν, ὡς ἡ ἰατρική, γραμματικὴ καὶ αἱ λοιπαί· αὕτη γὰρ ἡ ἰατρικὴ μετέχει τοῦ ποιητικοῦ 〈καὶ τοῦ θεωρητικοῦ〉 · καὶ ποιητικὸν μὲν τὸ χειρουργικόν, θεωρητικὸν δὲ αὐτῆς τὸ διαγινώσκειν τὰ πάθη 〈διὰ〉 τῶν σφυγμῶν καὶ τῶν ἄλλων. —Σκοπήσωμεν οὖν τὴν γραμματικὴν ὑπὸ ποῖον τούτων ἀνάγεται. Φαμὲν καὶ αὐτὴν εἶναι μικτήν· ἐν μὲν γὰρ τῷ στίζειν ἀποτελῶ τι καὶ πράττω, τὸ δὲ τεχνολογεῖν θεωρητικὸν καὶ 〈τὸ〉 τῆς μεθόδου τῶν κανόνων· διὰ τοῦτο αὐτὴν ἀπεφήνα〈ν〉το τέχνην θεωρητικήν τε καὶ ποιητικήν. —Τί ἐστι μικτή; Ἡ ἐκ θεωρητικοῦ καὶ πρακτικοῦ συγκειμένη, καθὰ προέφημεν. Πόσα παρέπεται τῇ τέχνῃ; Ἑπτά· τεχνοειδές, ἡμιτέχνιον, μικροτεχνία, κακοτεχνία, ματαιοτεχνία, ψευδοτεχνία καὶ ἀτεχνία. Τί ἐστι τεχνοειδές; Ἀλόγου ζῴου τέχνη μιμουμένη φύσει 〈τεχνι〉 κὰς ἐργασίας, ὡς ἡ τῶν ἀραχνῶν ὑφαντικὴ καὶ τῶν μελισσῶν ἡ κηροπλαστική. Τί ἐστιν ἡμιτέχνιον; Τὸ δι’ ὀλίγου συνιστάμενον τεχνίδιον, ὡς ἡ κουρευτικὴ καὶ ἐξονυχιστική. Τί ἐστι μικροτεχνία; Ἡ ὑποκρινομένη μείζονος τέχνης ἐργασίαν, ὡς ἡ τῶν μυρεψῶν· οὗτοι γὰρ διὰ τὸ εἰδέναι σκευάσαι ἔμπλαστρα τὴν τῶν ἰατρῶν σχηματίζονται τέχνην. Τί ἐστι κακοτεχνία; Ἡ ἐπὶ κακῷ ὡς ἀληθῶς εὑρεθεῖσα, ὡς ἡ κυβευτική. Τί ἐστι ψευδοτεχνία; Ἡ ἀπατῶσα τὴν αἴσθησιν, ὡς ἡ τῶν ψηφίδων καὶ τῶν νευροβατῶν ἤτοι τῶν λωράδων. Τί ἐστι ματαιοτεχνία; Ἧς μὲν ὁ πόνος πολύς, τὸ δὲ ἀποτέλεσμα οὐδέν, ὡς τὸ εἰδέναι πολλὰς τρύπας ποιεῖν ἐν κυάμῳ κέγχρου, καὶ τὸ ποιεῖν ἀνδριάντας κηρίνους. Τί ἐστιν ἀτεχνία; Ἡ τῆς τέχνης ἀταξία, δι’ ἣν καὶ πταιστὴν νομίζουσιν οἱ πολλοί. Τί διαφέρει τέχνη ἐπιστήμης, πείρας καὶ ἐμπειρίας; Διαφέρει κατὰ τούσδε τοὺς τρόπους, κατά τε τὸ καθολικώτερον καὶ μερικώτερον, καὶ ἄπταιστον καὶ πταιστόν· ἕπεται γὰρ τῷ μὲν καθόλου τὸ ἄπταιστον, τῷ δὲ μερικῷ τὸ πταιστόν· καὶ ὅτι ἡ μὲν τέχνη κατά τι ἀτελεστέρα καθέστηκε τῆς ἐπιστήμης, ὡς ἡ ἰατρική, ῥητορική, γραμματική, ἡ δὲ ἐπιστήμη τελειοτάτη, ὡς ἡ τῶν φιλοσόφων καὶ τῶν γεωμετρῶν. Τί ἐστιν ἐπιστήμη; Κατάληψις ἄπταιστος ἀπὸ ὀρθοῦ λόγου κατεσκευασμένη. Καὶ ἄλλως· σύστημα ἀσφαλὲς ἀπὸ τοῦ ἑστηκότος τι μεθοδεύουσα. Καὶ ἄλλως· ἕξις ἀμετάπτωτος λογική. Τί ἐστιν ἕξις; Οἱονεὶ γνῶσις. Τί ἐστιν ἀμετάπτωτος· ἡ ἄπταιστος καὶ τελεία. Τί διαφέρει τέχνη ἐπιστήμης; Διαφέρει κατὰ τοῦτο, ὅτι ἡ μὲν τέχνη κατά τι πταιστή ἐστιν, ἡ δὲ ἐπιστήμη παντελῶς ἄπταιστος .... ... τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ etc. = Proll. Voss. 9, 13—10, 19. Ἰστέον ὅτι αἱ τέχναι τετραχῶς· αἱ μὲν γάρ εἰσι λογικαί, ὡς ἐπὶ τῆς ἀστρονομίας, αἱ δὲ πρακτικαί, ὡς ἐπὶ τῆς κιθαριστικῆς· αὕτη γὰρ ἐν τῷ πράττεσθαι ἔχει τὴν ὕπαρξιν, μετὰ δὲ τὸ πρᾶγμα, ἤτοι τὴν πρᾶξιν, οὐκ ἔστιν· αἱ δὲ ποιητικαί, ὡς ἐπὶ τῆς χαλκευτικῆς· αὕτη γὰρ καὶ μετὰ τὸ ἀποτέλεσμα ἔχει τὰ ἀποτελούμενα.

299 Τί ἐστι τέχνη; Σύστημα ἐκ καταλήψεων· «σύστημα» μὲν ἤτοι πλῆθος· λέγομεν γὰρ τὸ σύστημα τῶν παιδευτῶν· «ἐκ καταλήψεων» δέ, τουτέστιν ἐξ ἐφευρέσεων· πρῶτον γάρ τις εὑρίσκει, καὶ οὕτω προσάγει τῇ τέχνῃ· ἴδιον δὲ τῆς τέχνης τὸ πάντα μετὰ λόγου ποιεῖν καὶ λόγον ὑπὲρ ὧν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιεῖ ἀποδιδόναι. —Πάλιν· τέχνη ἐστὶ σύστημα· «σύστημα» μὲν οὖν εἴρηται ἡ τέχνη, ὅτι οὐκ ἔστιν ἡ τέχνη μονοειδής, ἀλλ' ἐκ διαφόρων πολλῶν, ὡς εἰρήκαμεν· σύστημα μὲν γὰρ σημαίνει τὸ ἄθροισμα. «Ἐκ καταλήψεων» δέ, ὡς εἴπομεν, ἐξ ἐφευρέσεων· «ἐγγεγυμνασμένων» δέ, οἱονεὶ δεδοκιμασμένων· οὐ γὰρ ἀθρόως καὶ ὑφ' ἑνὸς αἱ τέχναι εὕρηνται, ἀλλὰ κατὰ βραχὺ ἐφευρέθησαν ὑπὸ πλειόνων· ἢ ὑφ' ἑνὸς τῆς πολυπραγμοσύνης τοῦ νοῦ συνιστάμενον καὶ συναθροιζόμενον πρᾶγμα· ἀπὸ τοῦ συνίστασθαι γὰρ καὶ εἶναι λέγεται σύστημα· αἱ γὰρ τέχναι διὰ πλειόνων τινῶν ἀποτελεῖσθαι πεφύκασι, καὶ μάλιστα ἐξ ὕλης καὶ ὀργάνων, δι' ὧν κατασκευάσει τὴν ὕλην εἰς εὐπρεπὲς σχῆμα. Ἔτι «ἐγγεγυμνασμένων» πρόσκειται, διότι οὐχ ἅπαξ ἢ δὶς οἱ ἀρχαῖοι τὰς τέχνας δοκιμάσαντες ἐκδεδώκασιν, ἀλλὰ πολλάκις τὰ περὶ τὴν τέχνην γυμνάσαντες ἐκδεδώκασι, τὸ καλῶς ἔχον σκοπήσαντες. Τὸ δὲ «πρός τι τέλος» πρὸς ἀόριστον τέλος· τὸ γὰρ τί σημαίνει τέσσαρα· ἀόριστόν τι πρᾶγμα, καὶ ὡρισμένον, καὶ τὸ ἑνιαῖον, καὶ προσδιωρισμένον· ἔστι καὶ πρὸς τούτοις πέμπτον, ἐπίρρημα, ὃ δηλοῖ τὸ λίαν, ὡς τὸ 〈Psalm. 3, 2〉 κύρι ε , τὶ ἐπληθύνθησαν οἱ θλίβοντές μ ε, ἀντὶ τοῦ λίαν ἐπληθύνθησαν. —Ἀλλὰ καὶ τὸ τέλος σημαίνει ἕξ· τὴν πρόσοδον, τὸ ἀξίωμα, τὸ δαπάνημα, τὴν ἑορτήν, τὸ πεπληρωμένον ἔργον καὶ δημόσιον καὶ τὸν θάνατον· καὶ ὁ βίος ἑπτά· τὴν ἑκάστου ζωήν, τὴν κοινὴν ἁπάντων ζωήν, τὸ ἐπιτήδευμα, τὴν περιουσίαν τουτέστι τὸν πλοῦτον, τὴν ἐνθένδε τῆς ψυχῆς μετάστασιν, τὸ εἶδος τῆς ἑκάστου ζωῆς καὶ τὴν διατριβήν, ὧν τὰς χρήσεις ἐν τῷ μεγάλῳ λεξικ ῷ, εἰ θεῷ βουλητόν, μαθησόμεθα. Ὃ γοῦν λέγω τοιοῦτόν ἐστι· πᾶσα τέχνη ἐπινοεῖ πρός τι συμφέρον· εἰ γοῦν τέχνη ἐστὶν ἐπὶ βλάβῃ, κακοτεχνία καὶ οὐ τέχνη, οἵα ἐστὶν ἡ λῃστρικὴ 〈καὶ〉 ἡ τυμβωρυχική· δοκοῦσι γὰρ καὶ οἱ ταύτην ἐπιτηδεύοντες τέχνην ἐργάζεσθαι, ἀλλ' ἔστιν ἀπηγορευμένη τῷ νόμῳ, ἧς τὸ τέλος θάνατος. Εἰ γὰρ ἐπὶ τῷ συμφέροντι καὶ τῇ συστάσει τοῦ βίου ἐπινενόηται τέχνη, αὗται δὲ τὸ τέλος ὀλέθριον ἔχουσιν, ὁμολογουμένως οὐ τέχναι μᾶλλον ἢ κακοτεχνίαι εἰσί. Καὶ ταῦτα μὲν περὶ τῆς τέχνης λέγειν ἐπεχειρήσαμεν. Ἄξιον δὲ καὶ περὶ τῆς γραμματικῆς διαλαβεῖν. Καὶ πρότερον μάθωμεν περὶ ὅρου, τί ἐστιν ὅρος etc. = Proll. Voss. 8, 8—24. Μαθόντες τοίνυν τί ἐστιν ὅρος, καὶ τί ὑγίεια ὅρου, ὁρισώμεθα τὴν γραμματικήν. —Περὶ γραμματικῆς. —Γραμματική ἐστι τέχνη ἕξις θεωρητικὴ καὶ πρακτικὴ etc. = Proll. Voss. 3, 11—4, 30. 〈Heliodori.〉 —Ἄμεινον δὲ ἦν ἄρξασθαι ἀπὸ στοιχείων, ὡς ἀρχετύπων καὶ πρώτων αἰτίων τῆς φωνῆς, ὅτι ταῦτα ἡ πρώτη φωνὴ καὶ ἄτομος ὑπάρχει, καὶ ἐξ αὐτῶν αἱ συλλαβαὶ συνέστησαν, καὶ ἐκ τῶν συλλαβῶν αἱ λέξεις, ἐκ δὲ τῶν λέξεων ὅλη ἡ γραμματική.

Ἐπεὶ γοῦν οὕτως ἔδοξε τῷ Διονυσίῳ τὴν ἀρχὴν ἀπὸ τῆς γραμματικῆς ποιήσασθαι, λεκτέον περὶ αὐτῆς. Γραμματική ἐστιν ἕξις θεωρητικὴ καὶ πρακτικὴ τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι, δι' ἧς ἑκάστῳ τὸ οἰκεῖον ἀποδιδόντες ἐξ ἀπείρου καταληπτὸν ποιούμεθα. Καὶ ἄλλως. —Τί ἐστι γραμματικὴ τέχνη; Ἕξις θεωρητικὴ καὶ πρακτική, τὸ εὖ λέγειν καὶ τὸ εὖ γράφειν διδάσκουσα ἡμᾶς· οὐ γὰρ πᾶς ὁ γράφων ἢ ὁ ἀναγινώσκων λέγεται γραμματικός, ἀλλ' ὁ τὸν κανόνα καὶ τὸν ὅρον ἀποδιδούς. Καὶ ἄλλως· τέχνη περὶ τὰ ὀκτὼ μέρη τοῦ λόγου καταγινομένη. Ἄλλως· τέχνη διδάσκουσα ἡμᾶς τὰ νοούμενα γράφειν καὶ τὰ ὡς πρός τινα εὐρύθμως ἢ ἐμμέτρως πραγματευθέντα μετὰ κρίσεως διηγουμένη. Ὁ δέ γε Διονύσιος ὁ Θρᾷξ ὡρίσατο οὕτως· «γραμματική ἐστιν ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν ὡς ἐπὶ τὸ πολὺ λεγομένων». 〈Heliodori.〉 —Μέμφονται δέ τινες τὸν τεχνογράφον τὴν λογιωτάτην γραμματικὴν ἐμπειρίαν εἰρηκότα, ἥτις ἐστὶν ἡ τῶν ὡσαύτως ἐχόντων πραγμάτων ἄλογος τήρησίς τε καὶ μνήμη· ὡς εἴ τις ἄγροικος βοτάνην ἕλκει προσαγαγὼν τύχοι τε τὸ πάθος ἰάσασθαι, καὶ μήτε λόγον μήτε αἰτίαν ἀποδοῦναι δυνάμενος. Λοιπὸν οὕτω τινὲς ἀπολύονται τὴν κατηγορίαν, ὡς ἔν τισι ζητήμασι καὶ ἄλογον εὑρίσκοντες τὴν γραμματικήν, οἷον ὡς ἐν ταῖς ψιλῇ παραδόσει εἰρημέναις λέξεσιν, ἤγουν ὡς ἐν ταῖς σεσημειωμέναις. Ἐμπειρία δέ ἐστιν ἡ ἄλογος τριβὴ ἡ ἐκ παρατηρήσεως γινομένη· ὁ γὰρ ἐμπειρικὸς οὐδὲν μετὰ λόγου ποιεῖ, ἀλλ' ὅπερ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τηρεῖ τὸν τεχνίτην μετὰ λόγου διαπραττόμενον, τοῦτο καὶ αὐτὸς ποιῶν ἀλόγως μιμεῖται. Γραμματική ἐστιν ἐμπειρί α.] 〈Ἐμπειρία〉 ἀντὶ τοῦ τέχνη· τὴν γὰρ ἐμπειρίαν ἐνταῦθα ὁ Διονύσιος ἀντὶ τῆς τέχνης ἐξελάβετο, καθὰ μετὰ ταῦτά φησιν «ὃ δὴ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχνῃ»· καὶ δείκνυσι διὰ τούτου, ὅτι ἐμπειρίαν τὴν τέχνην λέγει, καὶ οὐ τὴν ἄλογον τριβήν [τῆς γραμματικῆς]. Γραμματική ἐστιν ἐμπειρί α.] Πρότερον etc. =Σ d 10, 24—11, 2. Ὅτι μὲν γὰρ etc. Σ v 166, 27—167, 4. Γραμματική ἐστιν ἐμπειρί α.] Πολλοὶ etc. =Σ v 167, 6—25. Τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι ν.] Εἰδέναι χρὴ ὅτι ταῦτα χαρακτηρίζει ποιητὴν κυρίως, μέτρον, μῦθος ἤτοι πλάσμα, 〈γλῶσσα〉, ἱστορία καὶ ποιὰ λέξις. Διαφέρει δὲ ποιητὴς συγγραφέως, ῥήτορος καὶ ἱστοριογράφου· καὶ ποιητὴς μὲν λέγεται ὁ μέτρῳ συγγραψάμενος, ὡς Ὅμηρος· συγγραφεὺς δὲ ὁ τὰ ἐφ' ἑαυτοῦ γεγονότα συγγραψάμενος, ὡς ὁ Θουκυδίδης τὸν Πελοποννησιακὸν πόλεμον συνέγραψεν ἐπὶ τῶν αὐτοῦ γεγονότα χρόνων· ῥήτωρ δὲ ὁ περὶ τὰ πολιτικὰ ζητήματα καταγινόμενος, ὡς ὁ Δημοσθένης· ἱστοριογράφος δὲ ὁ παλαιῶν ἱστοριῶν μεμνημένος, ὡς Ἡρόδοτος.

301 Τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι ν.] Ποιηταὶ μὲν λέγονται etc. = Σ d 11, 4—8. —Οὐκ ἔστι μόνον etc. = Σ v 167, 26 —168, 13. Εἰς τὸ « γραμματική ἐστιν ἐμπειρί α». —Μέμφονταί τινες etc. = Proll. Voss. 6, 31—7, 29. Ὡς ἐπὶ τὸ πολὺ λεγομένω ν.] Καλῶς ἔφη «ὡς ἐπὶ τὸ πολὺ λεγομένων»· τῶν γὰρ πολιτευομένων λέξεων ἐπιστήμων ἔσται ὁ γραμματικός, οὐ μὴν τῶν καθάπαξ καὶ κατὰ μίαν χρῆσιν εἰρημένων· ὡς παρά τισι λέγεται σκέπαρνον 〈Artemid. 4, 24〉 τὸ ἔριον διὰ τὸ σκέπειν τὸν ἄρνα, καὶ ποτήριον τὸ ἐξ ἐρίων ἔνδυμα, ὅτι ποτὲ ἔριον ἦν, καὶ ἐπὶ τῶν τοιούτων. Ἄλλως. —«Ὡς ἐπὶ τὸ πολύ» ἤγουν ὡς ἐπὶ τὸ πλεῖστον λεγομένων· οὐ γὰρ ἐπιζητήσει ὁ γραμματικὸς ζητημάτων Δημοσθενικῶν ἢ δογμάτων Πλατωνικῶν ἀκρίβειαν· εἰ δὲ λέξεων ἐπιστήμων ὁ γραμματικός—τοῦτο γὰρ προσυπακούεται—εἴσεται καὶ τὴν τούτων ἐξήγησιν. Διομήδου ς . —Ὡς ἐπὶ τὸ πολὺ λεγομένων, τουτέστι τῶν ὑπὸ πολλῶν ἀρχαίων διὰ μνήμης ἀξίως ἐνεχθέντων καὶ ὡς ἐπὶ τὸ πλεῖστον εὑρισκομένων. Λείπει δὲ τὸ «λέξεων». Διὰ τί δὲ εἶπεν etc. = Σ d 11, 12—12, 2. Πόσα θεωρούμενα περὶ τὴν γραμματικήν; etc. = Σ v 170, 11—25. Πόσα μέρη τῆς γραμματικῆς; Ἕξ· πρῶτον ἀνάγνωσις ἐντριβὴς κατὰ προσῳδίαν, δεύτερον ἐξήγησις κατὰ τοὺς ἐνυπάρχοντας ποιητικοὺς τρόπους, τρίτον γλωσσῶν τε καὶ ἱστοριῶν πρόχειρος ἀπόδοσις, τέταρτον ἐτυμολογίας εὕρεσις, πέμπτον ἀναλογίας ἐκλογισμός, ἕκτον κρίσις ποιημάτων, ὃ δὴ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχνῃ. Διὰ τί δὲ μέρη τῆς γραμματικῆς καὶ οὐχὶ εἴδη, καὶ τί διαφέρει μέρος εἴδους; Καὶ λεκτέον ὅτι τὰ μὲν εἴδη ἐκ τῶν γενῶν διαιροῦνται καὶ αὐτοτελῆ εἰσιν, οἷον ἐκ τοῦ ζῴου γένους διαιροῦμεν τὸν ἄνθρωπον· τὸ δὲ μέρος ἀπόσπασμά ἐστι τοῦ εἴδους, ἀτελὲς γὰρ ἀνθρώπου μέρος ἡ κεφαλή. Ὅθεν ῥητορικῆς λέγομεν εἴδη τρία, συμβουλευτικόν, δικανικόν, πανηγυρικόν· καὶ [ὅτι] τὸν μὲν ἐπιστάμενον ἓν τῶν τριῶν τούτων εἰδῶν ῥήτορα τέλειον λέγομεν, τὸν δὲ μὴ ἐπιστάμενον πάντα τὰ τῆς γραμματικῆς μέρη γραμματικὸν οὐ λέγομεν· ἐκ πάντων γὰρ αὕτη τούτων τῶν μερῶν ἀναπληροῦται.

302 Στεφάνο υ . —Μέρη δὲ ἕ ξ.] Τί δήποτε etc. = Σ v 168, 19—169, 2. Ἰστέον ὅτι τὸ παλαιὸν μέρη etc. = Σ d 12, 3—13, 10. Πρῶτον ἀνάγνωσις ἐντριβὴς κατὰ προσῳδία ν.] Ἰστέον ὅτι τὸ διορθωτικὸν παρεσιώπησε μέρος, τὴν ἐτυμολογίαν ἀντ' αὐτοῦ καταλέξας ὡς μέρος· ὅπερ οὐκ ἔστι μέρος, ἀλλὰ μόριον τοῦ ἐξηγητικοῦ, ὡς καὶ τὸ ὀρθογραφικὸν τοῦ διορθωτικοῦ· μερῶν δὲ μέρη τὰ μόρια, ὡς κεφαλῆς ὀφθαλμοὶ καὶ ποδῶν δάκτυλοι. Διομήδου ς. —Πρῶτον ἀνάγνωσις ἐντριβὴς etc. = Σ d 13, 11—18. Δεύτερον ἐξήγησι ς.] Τὸ δεύτερον μέρος τῆς γραμματικῆς ἐξήγησις· ἐξήγησις δέ ἐστιν ἡ τοῦ ἑξῆς ὁδήγησις, τουτέστι τοῦ νοήματος καὶ τῆς διανοίας ἀκολουθία τε καὶ τάξις. — Κατὰ τοὺς ἐνυπάρχοντας ποιητικοὺς τρόπους,] ἤτοι κατὰ τοὺς ἐγκειμένους τῶν ποιητῶν τρόπους. Ἰστέον δὲ ὅτι ἐν τοῖς ποιητικοῖς τρόποις εἰς ἀπορίαν περιίσταται ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐξηγούμενος, εἰ μὴ μάθοι τὸν τρόπον τοῦ νοήματος· πολλάκις γὰρ ὁ ποιητὴς περὶ πολέμου διαλεγόμενος ἐτράπη ὡς εἰς θερισμοῦ ἐξήγησιν. Ἰστέον δὲ ὅτι οἱ ποιητικοὶ τρόποι ῥητορικῆς εἰσιν ἀλλότριοι· ἀρετὴ γὰρ τῆς ῥητορικῆς ἡ σαφήνεια, οἱ δὲ τρόποι τὸ ἀσαφὲς παράγουσιν. Στεφάνο υ . —Δεύτερον ἐξήγησι ς.] Μετὰ τὸ διδ. etc. = Σ v 169, 8—10. «Ποιητικούς» τοὺς μάλιστα ποιηταῖς ἁρμόζ. etc. = Σ d 13, 20—14, 12. Τρύφωνος περὶ τρόπων. Hac praemissa inscriptione habet V fol. 10 v— 12 r quae sub Gregorii Corinthii nomine leguntur apud Spengelium III 215, 3—17 et quae sub Georgii Cheorobosci nomine III 244, 4—10; sequuntur excerpta ex 244, 14—255, 18. Tum sic pergit: Ὅτι τὸ φιλεῖ νοεῖ λέγει φέρει φίλησι νόησι λέγησι φέρησι λέγουσι Ῥηγῖνοι· καλεῖται δὲ καὶ σχῆμα Ἰβύκειον ὑπὸ τῶν γραμματικῶν, διὰ τὸν μελοποιὸν δηλαδὴ Ἴβυκον φιλῳδήσαντα τοιαύτῃ γλώσσῃ· τὸ δὲ λάβῃ λάχῃ τὰ αὐθυπότακτα, ἐξ ὧν λάβησι καὶ λάχησιν οὐ τῶν Ῥηγίνων εἰσίν, ἀλλὰ τῶν Ἰώνων. —Καὶ οὗτοι μὲν οἱ τρόποι. Ἐπεὶ δὲ ὁ τρόπος λέξεών ἐστι φράσις, εἴπωμεν καὶ τί ἐστι φράσις. Φράσις ἐστὶ λόγος etc. = Tryphonis de tropis apud Spengelium III 191, 3—13 (ἀναγκαῖον). Τρίτον γλωσσῶν τε καὶ ἱστοριῶ ν.] Τὸ τρίτον μέρος τῆς γραμματικῆς ἐστιν ἡ σύντομος ἀπόδοσις ἤγουν ἀπόκρισις τῶν τε γλωσσῶν καὶ ἱστοριῶν. Ἰστέον δὲ ὅτι διαφέρει διάλεκτος γλώττης, ὅτι ἡ μὲν διάλεκτος ἐμπεριεκτική ἐστι γλωσσῶν [τε καὶ ἱστοριῶν]· Δωρὶς γὰρ διάλεκτος μία, ὑφ’ ἣν εἰσι γλῶσσαι πολλαί, Ἀργείων, Λακώνων, Συρακουσίων, Μεσ〈σ〉ηνίων, Κορινθίων· καὶ Αἰολὶς μία, ὑφ’ ἣν εἰσι γλῶσσαι πολλαί, Βοιωτῶν καὶ Λεσβίων καὶ ἄλλων.

303 Καὶ ἁπλῶς εἰπεῖν διάλεκτοι μέν εἰσι πέντε, Ἰάς, Ἀτθίς, Δωρίς, Αἰολίς, κοινή, γλῶσσαι δὲ πολλαί. Συμβάλλεται δὲ ἡ γλῶσσα πρὸς ὀρθογραφίαν καὶ ἐτυμολογίαν. Ἱστορία δέ ἐστι παλαιῶν πράξεων ἀφήγησις. Διομήδου ς. — Τρίτον γλωσσῶν τε καὶ ἱστ. etc. = Σ d 14, 13—22. Τέταρτον ἐτυμολογίας εὕρεσι ς.] Τὸ τέταρτον μέρος τῆς γραμματικῆς ἡ τοῦ ἐτύμου, τουτέστι τοῦ ἐν τῇ λέξει ἀληθοῦς, ἀνάπτυξις· ἔτυμον γὰρ τὸ ἀληθές, καὶ ἡ ἐτυμολογία ἐν τῷ σημαινομένῳ τὸ ἀληθὲς καταλαμβάνει, ὡς ἐν τῷ οὐρανός λέγομεν, οὐρανὸς γὰρ ὅρος τίς ἐστιν. Ἰστέον δὲ ὅτι οὐ μέρος τῆς γραμματικῆς τὸ ἐτυμολογικόν, ἀλλὰ μέρους μόριον τοῦ ἐξηγητικοῦ. Τοῦ αὐτοῦ εἰς τὸ αὐτό. — Τέταρτον ἐτυμολογίας εὕρεσι ς.] Πρῶτον ὁ εἰσαγόμενος μανθάνει, ὅτι μῆνιν βαρυτόνως δεῖ ἀναγινώσκειν· διδαχθεὶς δὲ καὶ τοῦ ἀναγνωσθέντος ἀπαιτεῖ τὴν ἐξήγησιν, ὅ ἐστι τὴν ἑρμηνείαν· μαθὼν δὲ ὅτι ὀργὴν ἐπίμονον σημαίνει, ἀπαιτεῖ τὴν διάλεκτον, τίνες λέγουσι μῆνιν τὴν ὀργήν, καὶ ἀκούει ὅτι οἱ Ἴωνες. Μαθὼν δὲ καὶ τὴν διάλεκτον ζητεῖ καὶ τὴν τῆς ἐτυμολογίας εὕρεσιν. Ἐτυμολογία δέ ἐστιν ἡ ἀνάπτυξις τῶν λέξεων κατὰ τὸ δυνατόν, δι’ ἧς etc. = Σ d 14, 24—15, 7. 〈Heliodori〉. —Πέμπτον ἀναλογίας ἐκλογισμός.] Τὸ πέμπτον μέρος τῆς γραμματικῆς ἡ ἐκζήτησις καὶ ἀκριβολογία τῆς τοῦ ὁμοίου παραθέσεως. Ἀναλογία γάρ ἐστι λόγος ἀποδεικτικὸς καθ’ ὁμοίου παράθεσιν τῆς καθ’ ἕκαστον μέρος φυσικῆς ἀκολουθίας· «ὁμοίου» δὲ κατὰ τὸν τύπον, ὡς ὅμοιόν φαμεν εἶναι τὸ Δημοφῶν τῷ Ξενοφῶν. Στεφάνο υ. — Πέμπτον ἀναλογίας ἐκλογισμό ς.] —Μαθὼν etc. = Σ v 169, 23—29. Τὸ οὖν πέμπτον μέρος etc. = Σ d 15, 12—25. Ἕκτον κρίσις ποιημάτω ν.] Τὸ ἕκτον μέρος τῆς γραμματικῆς ἐστιν ἡ κρίσις, τουτέστιν ἡ βάσανος καὶ ἐξέτασις τῶν ποιημάτων. Διαφέρει δὲ κρίσις συγκρίσεως· καὶ πρῶτον μὲν κρίσις, δεύτερον δὲ σύγκρισις· κρίνει μὲν γάρ τις ἕκαστον ἐκ τῶν ἰδίων, συγκρίνει δὲ ἕτερον ἐφ’ ἑτέρῳ· ὥστε ἡ σύγκρισις ἐν αὑτῇ προτέραν τὴν κρίσιν ἔχει. Ζητητέον δὲ 〈εἰ〉 ἄρα ὁ γραμματικὸς καλλίων ὢν τῶν ποιητῶν κρίνει αὐτῶν τὰ ποιήματα, ἢ ἥττων· καὶ εἰ μὲν καλλίων, δῶμεν καὶ αὐτὸν εἶναι ποιητήν, ὅπερ ἀλλότριον γραμματικῆς· οὔτε γὰρ μέρος οὔτε ὄργανον τῆς γραμματικῆς τὸ ποιητικόν· εἰ δὲ ἥττων ὤν, κρίνει οὐχ ὡς ποιητὴς ἀλλ’ ὡς τεχνίτης τῆς ἐκείνων ὕλης ὁ γραμματικός· ὕλη γὰρ ποιητικῆς μῦθος, μέτρον, λέξις, ἱστορία, γλῶσσα, καὶ τούτων τεχνίτης ὁ γραμματικός.

304

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κρίνει δὲ [ὡς] οὐ, πότερον αὐτοῖς καλῶς γέγραπται ἢ οὔ, ἀλλὰ ποῖα ἀνόμοια καὶ ποῖα ὅμοια, καὶ ποῖα νόθα τῶν ποιημάτων καὶ ποῖα γνήσια. Κρίνεται δὲ ἡ ποίησις χρόνῳ, λέξει, ἱστορίᾳ, πλάσματι, συνθέσει, κυριολογίᾳ, οἰκονομίᾳ, τάξει, ἤθει, προσώπῳ. Ὃ δὴ κάλλιστόν ἐστ ι.] Κάλλιστον τοῦτο τὸ μέρος εἶπε, παρόσον ἤδη τελευτησάντων τὴν τέχνην ἔργον τὸ κρίνειν· καὶ πολλοὶ δὲ τῶν παλαιῶν γραμματικῶν κριτικοὶ ὀνομάζονται. Σαφῶς δὲ εἰρηκὼς περὶ γραμματικῆς καὶ τῶν ταύτης μερῶν ὁ τεχνικὸς μετέρχεται ἐπὶ τὸ ἀναγνωστικόν, ὅπερ μέρος πρῶτον τῆς γραμματικῆς, καί φησι περὶ μόνης ἀναγνώσεως. Καὶ ζητητέον, διὰ τί καὶ περὶ ἐξηγήσεως καὶ τῶν ἄλλων μερῶν οὐκ εἶπε. Καὶ ἰστέον ὅτι τοῖς εἰσαγομένοις συνήθης ἡ ἀνάγνωσις, ὁ δὲ περὶ ἐξηγήσεως λόγος καὶ τῶν ἄλλων δυσχερὴς καὶ πολλῆς ἀσκήσεως καὶ παρασκευῆς δεόμενος· καὶ διὰ τοῦτο τὸν περὶ αὐτῶν ὁ τεχνικὸς ἀπεσιώπησε λόγον. Ἕκτον κρίσις ποιημάτω ν.] Ὅταν τις etc. = Σ v 169, 30 —170, 10. Περὶ βαρβαρισμοῦ καὶ σολοικισμοῦ. Paucis additis interrogationibus et adnotationibus eadem fere praebet hic tractatus quae edita sunt a Valckenario post Ammonium de differ., sed hoc ordine: p. 178, 8—15; 176, 8—177, 13; 179, 4—181, 18; 177, 13—17; 181, 22—187, 4. Πόσα παρέπεται τῇ γραμματικῇ; Δεκαδύο· ἡ διαίρεσις τῶν εἰκοσιεπτὰ γραμμάτων, ἡ ἐπίγνωσις πάντων τῶν τόνων, οἱ κανόνες ἅπαντες τῶν τε μακρῶν καὶ τῶν βραχειῶν συλλαβῶν, οἱ κανόνες τῶν πνευμάτων, οἱ κανόνες τῶν παθῶν, ἡ ὀρθογραφία τῶν συλλαβῶν ἁπάσης ἀρχῆς τῶν λέξεων μονοσυλλάβων, δισυλλάβων καὶ τῶν ἐχουσῶν πλείονας συλλαβάς, ἀλλὰ καὶ ἡ ὀρθογραφία πᾶσα, ἥ τε ἐν αὐξήσει καὶ τῷ ἀναδιπλασιασμῷ καὶ τῇ κατ’ ἀρχὴν ἐπεκτάσει πάντων τῶν παρῳχημένων χρόνων, ἤγουν παρατατικοῦ, παρακειμένου, ἀορίστου πρώτου, ἀορίστου δευτέρου, μέσου ἀορίστου πρώτου τε καὶ δευτέρου, ὑπερσυντελίκου καὶ τῶν ἄλλων, οἱ κανόνες τῶν ληγουσῶν λέξεων, οἱ κανόνες τῶν παραληγουσῶν λέξεων, περὶ τῶν αὐθυποτάκτων, ἀνυποτάκτων τε καὶ ὑποτασσομένων, περὶ τῆς συντάξεως τῶν δεκαεπτὰ προθέσεων καὶ τῶν ποδῶν τῶν στίχων, περὶ τῶν προπαραληγουσῶν λέξεων, καὶ οἱ κανόνες τῆς τετάρτης συλλαβῆς τῶν λέξεων, περὶ ὧν πάντων ἀκριβῶς ὁ λόγος προϊὼν διδάξει. Πότερον ἡ γραμματικὴ τέχνη ἐστὶν ἢ ἐπιστήμη; Τέχνη. Διὰ τί; Διότι ἡ μὲν ἐπιστήμη ἄπταιστός ἐστιν, ἡ δὲ τέχνη πταιστή· καὶ γὰρ ἡ γραμματικὴ τέχνη οὖσα ἐν πολλοῖς πταιστὴ εὑρίσκεται· διά τοι τοῦτο τέχνη ἐστίν, οὐκ ἐπιστήμη. —Τί ὑπόκειται τῇ γραμματικῇ; Ἑλληνίδος γλώττης φωναί. —Πόθεν εἴρηται γραμματική; Ἀπὸ τοῦ γράμμα, ὃ δηλοῖ τὸ ποίημα, γίνεται γραμματικός καὶ γραμματική. —Τί ἐστι γράμμα; Σημεῖον στοιχείου ἐν σχήματι γραμμῆς ποιῷ ἢ ποσῷ παραλαμβανόμενον. Πόθεν γράμμα; Ἀπὸ τοῦ γλάπτω, ὃ σημαίνει τὸ κοιλαίνω· οἱ γὰρ παλαιοὶ τὰ γράμματα τοῖς λίθοις ἐνεκόλαπτον. Πόσα σημαίνει γράμμα; Ἑπτά· γράμμα ὁ τόνος, γράμμα ὁ χαρακτήρ, γράμμα ἡ ἐπιστολή, γράμμα ἡ γραμμή, γράμμα τὸ σύγγραμμα, γράμμα τὸ ζωγράφημα, γράμμα καὶ τὸ ψήφισμα.

305 —Τί διαφέρει γράμμα γραμματικῆς; Γράμμα μὲν γὰρ λέγεται ἡ προπαιδεία, ἤγουν ἡ κατ’ ἀρχὴν τῶν παίδων διδασκαλία, ἥτις περὶ τοὺς ψόφους καὶ χαρακτῆρας τῶν στοιχείων γίνεται· γραμματικὴ δὲ ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν ὡς ἐπὶ τὸ πολὺ λεγομένων. § 2. Περὶ ἀναγνώσεως. Τί ἐστιν ἀνάγνωσις; Κατὰ μὲν φιλοσόφους ἡ τῶν πρώτων μαθημάτων τῆς ψυχῆς ἀναγνώρισις [καὶ ἀναγνῶναι τὸ ἐπιγνῶναι], ὥς φασι φιλοσόφων παῖδες μετεμψύχωσιν εἶναι καὶ ἐρχομένην εἰς ἀνθρώπειον σῶμα τὴν ψυχὴν [καὶ ἀναγνωρίζειν τὸ ἐπιγινώσκειν]· κατὰ δὲ γραμματικοὺς ποιημάτων ἢ συγγραμμάτων ἀδιάπτωτος προφορά. Τί ἐστιν ἀδιάπτωτος προφορά; Τουτέστιν ἀδιάπταιστος προένεξις ἤγουν ἀδιαίρετος 〈ἀνά〉 γνωσις· προφορὰ γὰρ ἡ διὰ τῆς τοῦ λόγου φωνῆς ἐκφορὰ καὶ προένεξις. —Ἄλλως. Τί ἐστιν ἀνάγνωσις; Ἡ δευτέρα γνῶσις· πρώτη γὰρ ἡ διὰ τῶν συλλαβῶν γνῶσις· εὑρίσκομεν οὖν τὴν ἀνά πρόθεσιν πολλάκις τὸ ἐκ δευτέρου σημαίνουσαν, οἷον ἀναλαβεῖν ἀναδοῦναι ἀναγνῶναι καὶ τὰ ὅμοια, καὶ διὰ τοῦτο ἀνάγνωσις. Ἀνάγνωσις δὲ ἐντριβής, ἤγουν τετριμμένη καὶ πεπατημένη· τρίβος γὰρ ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πεπατημένη ὁδός· δεῖ οὖν ἐκείνην ποιεῖσθαι τὴν ἀνάγνωσιν, ἣν οἱ παλαιοὶ τῷ λόγῳ διώδευσαν. Περὶ ἀναγνώσεως μὲν εἴρηται ἐν τοῖς προλαβοῦσιν. Ὁ δὲ ἤ παραδιαζευκτικὸς ἐν τῷ «ἢ συγγραμμάτων» ἀντὶ τοῦ «καί» παραλαμβάνεται, ὡς εἶναι καὶ συγγραμμάτων ἀδιάπτωτος καὶ ἄπταιστος προφορὰ ἤγουν προένεξις· ἀθάνατος γὰρ ἡ ψυχὴ καὶ πάντων ἔμπειρος. Ἀναγνωστέον δὲ κα θ ’ ὑπόκρισι ν , κατὰ προσῳδίαν καὶ κατὰ διαστολή ν.] Τῆς ἀναγνώσεως μέρη εἰσὶ τρία, ὑπόκρισις, προσῳδία καὶ διαστολή. Ὑπόκρισις μὲν οὖν ἐστιν ἡ τῶν ὑποκειμένων σωμάτων ἢ πραγμάτων μίμησις ἢ διὰ σωματικῆς ἢ φωνητικῆς ἐμμέτρου κινήσεως γινομένη· προσῳδία δὲ πάλιν τόνος φωνῆς κατὰ διάλεκτον ἢ κατὰ ἀναλογίαν κατορθούμενος, ὥσπερ ἐπὶ τοῦ ὅμοιος, ὅπερ τῆς ἀναλογίας προπερισπώσης οἱ Ἀττικοὶ προπαροξύνουσι. Λέγεται δὲ προσῳδία ἀπὸ τοῦ πρὸς αὐτὴν ᾄδεσθαι τὴν φωνήν· ᾠδὰς δὲ ἔλεγον οἱ ἀρχαῖοι τὰ ποιήματα, καὶ ἀοιδοὺς τοὺς ποιητάς. Διαστολὴ δέ ἐστι διάστασις γράμματος περὶ τὴν σύνταξιν ἀμφιβαλλομένου [ἢ ἀμφιβόλου]· διαστολὴ δὲ εἴρηται, ὅτι διαστέλλει τὸν ἐγκείμενον νοῦν κατὰ στιγμήν. [ἡ γὰρ παρὰ τέχνην οὐκ ἀνάγνωσις ἀλλ’ ἀγνωσία.] Ἐκ μὲν γὰρ τῆς ὑποκρίσεως τὴν ἀρετή ν , ἐκ δὲ τῆς προσῳδίας τὴν τέχνη ν , ἐκ δὲ τῆς διαστολῆς τὸν περιεχόμενον νοῦν ὁρῶμε ν.] Ἀπὸ κοινοῦ κατὰ τῶν τριῶν τὸ «ὁρῶμεν»· ἐκ μὲν γὰρ τῆς ὑποκρίσεως τὴν ἀρετὴν τοῦ ποιητοῦ ὁρῶμεν, ἐκ δὲ τῆς προσῳδίας τὴν τέχνην τοῦ ἀναγινώσκοντος ὁρῶμεν, ἐκ δὲ τῆς διαστολῆς, τουτέστι τῆς στιγμῆς, τὴν διάνοιαν καὶ τὴν σαφήνειαν τοῦ ποιήματος διακρίνομεν.

306 Στεφάνου ἑρμηνεία εἰς τὸ περὶ ἀναγνώσεως. Ἀνάγνωσίς ἐστι etc. = Σ v 171, 8—172, 16. Τί δὲ ἐξ ἑκάστου τούτων ὠφελούμεθα; Αὐτὸς ἐπιφέρει. Ἐκ etc. = excerpta ex Σ d 16, 17—17, 8. Ἵνα τὴν μὲν τραγῳδίαν ἀναγνῶμεν ἡρωϊκῶ ς.] Τραγῳδία ἐστὶ βίων καὶ λόγων ἡρωϊκῶν καὶ παθῶν μίμησις ἔχουσα μυστήρια καὶ σεμνότητα πλοκήν τέ τινα τῶν κατὰ μέρος· [ἄρξασθαι δὲ αὐτῆς Ἀριστοτέλης Σουσαρίωνά φησι]. Τραγῳδία δὲ εἴρηται καθὸ τράγους ὑπὲρ μισθοῦ ἐλάμβανον οἱ ἀγωνιζόμενοι. Ἄλλως. — Ἵνα τὴν τραγῳδίαν ἡρωϊκῶς ἀναγνῶμε ν·] μετὰ ὄγκου τινὸς μιμούμενοι τὰ μεγέθη τῶν σωμάτων τῶν ἡρώων τῇ τῶν λόγων ὑπερβολῇ. 〈Heliodori.〉 — Τὴν δὲ κωμῳδίαν βιωτικῶ ς.] Κωμῳδία ἐστὶν ἡ ἐν μέσῳ λαοῦ κατηγορία καὶ δημοσίευσις· εἴρηται δὲ κωμῳδία ἀπὸ τοῦ ἐν ταῖς κώμαις καὶ ἐν τοῖς δήμοις ᾄδεσθαι. Ἡρωϊκῶς οὖν μετὰ πολλῆς σεμνότητος καὶ ἐπηρμένης φωνῆς μιμουμένους τοὺς ἥρωας, βιωτικῶς δὲ μετὰ γέλωτος καὶ πολλῆς ἀστειότητος καὶ ἱλαρότητος ὑποκρινομένους τὰ βιωτικὰ καὶ τὰ παρεισαγόμενα πρόσωπα. Δεῖ δὲ γινώσκειν, ὅτι πολλὴ διαφορὰ τῆς τραγῳδίας καὶ τῆς κωμῳδίας, ὅτι ἡ μὲν τραγῳδία περὶ ἡρωϊκῶν πραγμάτων καὶ προσώπων λέγει, ἡ δὲ κωμῳδία ἀπήλλακται τούτων· καὶ ὅτι ἡ μὲν τραγῳδία τὰ τέλη περὶ σφαγῶν καὶ φόνων ἔχει, ἡ δὲ κωμῳδία περὶ ἀναγνωρισμοῦ· καὶ ὅτι ἡ μὲν τραγῳδία ἱστορίαν καὶ ἀπαγγελίαν ἔχει πράξεων γενομένων, ἡ δὲ κωμῳδία διάπλασμα βιωτικῶν πραγμάτων· καὶ ὅτι πάλιν ἡ μὲν τραγῳδία διαλύει τὸν βίον, ἡ δὲ κωμῳδία συνίστησι. Καὶ εἴρηται μὲν τραγῳδία, ὅτι περὶ τράγων ἠγωνίζοντο· ἢ καὶ τραγῳδία λέγεται ἀπὸ τοῦ τὰς ὄψεις περιχρίειν τρυγίᾳ, τροπῇ τοῦ υ εἰςα · κωμῳδία δέ, ὅτι ἐν κώμαις ᾔδετο. Ἵνα τὴν μὲν τραγῳδία ν.] Τραγῳδία ποίησίς ἐστιν ἐπιτάφιος τῶν τραγικῶν, [τοῦ τε Μενάνδρου,] τοῦ Σοφοκλέους, τοῦ Αἰσχύλου, τοῦ Εὐριπίδου καὶ ἑτέρων τοιούτων. Γεγόνασι etc. = eadem fere quae Σ d 17, 16—20, 12. «Βιωτικός» οὖν ὁ μετὰ ἀστειότητος καὶ ἱλαρότητος καὶ ἡδονῆς καὶ γέλωτος· ἢ «βιωτικός» ὁ κατὰ μίμησιν τοῦ βίου, τουτέστιν ὁ μιμούμενος τὸ παρεισαγόμενον πρόσωπον καὶ τὴν ἐκείνου ἀποματτόμενος σχέσιν, ἵνα ἂν μὲν ὑπόκειται γέρων, μιμησώμεθα τὴν φωνὴν τοῦ γέροντος, εἰ δὲ γυνή, τὴν γυναικός.

307 —Διαφέρει κωμῳδία τραγῳδίας, ὅτι ἡ μὲν τραγῳδία ἱστορίαν καὶ ἀπαγγελίαν ἔχει πράξεων γεγονυιῶν, ἡ δὲ κωμῳδία διαπλάσματα ἔχει βιωτικῶν πραγμάτων· καὶ ὅτι ἡ μὲν τραγῳδία περὶ ἡρωϊκῶν προσώπων καὶ πραγμάτων λέγει, ἡ δὲ κωμῳδία ἀπήλλακται τούτων· καὶ ὅτι ἡ μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τραγῳδία τὰ τέλη περὶ σφαγῶν καὶ φόνων ἔχει, ἡ δὲ κωμῳδία περὶ ἀναγνωρισμοῦ. —Καὶ ἄλλως· βιωτικῶς κατὰ τὴν ὑφὴν τῶν πραγμάτων. Τὰ δὲ ἐλεγεῖα λιγυρῶ ς.] Τὸ ἐλεγεῖον μέτρον ἐστὶν ἐκ δύο πενθημιμερῶν συγκείμενον· ἐνενόητο δὲ ἐν τοῖς θρήνοις· ἐλέγους δὲ ἐκάλουν τοὺς θρήνους ἀπὸ τοῦ ἒ ἒ λέγειν ἐν τοῖς τάφοις· ὕστερον δὲ ἐπιθαλαμίοις ἐχρήσαντο τούτοις τοῖς μέτροις. Λιγυρῶς δὲ καὶ ὀξέως δεῖ ἀναγινώσκειν τὰ ἐλεγεῖα, ὡς λίαν ἐκπεπληγμένους τῷ πλήθει τῶν κακῶν. Διομήδους καὶ Στεφάνο υ . —Τὰ δὲ ἐλεγεῖα λιγυρῶ ς.] Τὸ ἐλεγεῖον ἔμμετρός ἐστι στίχος, ἐλλείπων ἑνὶ ποδὶ τοῦ ἡρωϊκοῦ στίχου, εἰς δύο πενθημιμερῆ τεμνόμενος, οἷον 〈Callim. fr. 488 Sch〉 νήϊδε ς , οἳ Μούσης οὐκ ἐγένοντο φίλο ι· οὗ τὸ μὲν πρῶτον τμῆμα ἀδιαφόρως καὶ σπονδεῖον καὶ δάκτυλον ἐπιδέχεται, τὸ δὲ δεύτερον ἀεὶ δακτύλους. Ἔλεγοι δὲ λέγονται οἱ θρῆνοι· Ἔλεγος γάρ τις ἐγένετο υἱὸς Κλειοῦς τῆς Μούσης· ἢ ἀπὸ Ἐλέγου τινός· τούτου γοῦν ὡς ἔμελλον οἱ γάμοι γίνεσθαι, αἴφνης ἐξέπνευσε· καὶ λοιπὸν πᾶσα ἡ μουσικὴ ἡ προσελθοῦσα τῷ γάμῳ, ἀντὶ τοῦ ᾄδειν καὶ χαίρειν καὶ ὀρχεῖσθαι, ἐθρήνουν πάντες μετὰ μέλους, καὶ αὐληταὶ καὶ κιθαρισταὶ καὶ ἀοιδοί, ἐκπλαγέντες ἐπὶ τῷ συμβεβηκότι τῷ Ἐλέγῳ. Ἢ ἐλεγεῖόν ἐστι θρῆνος ἐπιτάφιος, οἱονεὶ ἐλεεῖόν τι ὄν, ἐλλειφθέντος τοῦ γ , ἀπὸ τοῦ ἐλλεεῖν τὸν τετελευτηκότα· ἢ ἐλεγεῖον ἀπὸ τοῦ ἒ λέγειν τὸν ἀποβιώσαντα. Ἐπειδὴ δὲ οἱ τεθνηκότες ἔλλειψίν τινα ἔχουσιν, ἤτοι τοῦ ζῆν, τούτου χάριν καὶ τὰ ἐλεγεῖα, ὡς ἐπὶ τοῖς θνῄσκουσι λεγόμενα, ἐλλείπει πόδα πρὸς τὸν δακτυλικὸν στίχον. Ἰστέον δὲ ὅτι ἐλεγεῖον καὶ ἐλεγεία διαφέρουσιν ἀλλήλων· ἐλεγεῖον γάρ ἐστιν, ὅταν εἷς στίχος ὑπάρχῃ καὶ πεντάμετρος, ἐλεγεία δέ, ὅταν ὅλον 〈τὸ〉 ποίημα ἀμοιβαῖα ἔχῃ τὰ μέτρα, ἑξάμετρα καὶ πεντάμετρα. —«Λιγυρῶς» δὲ οἷον ὀξέως ἀναγινώσκειν ἡμᾶς δεῖ τὰ ἐλεγεῖα, ὡς ἂν ἐκπεπληγμένους τῷ πλήθει τῶν κακῶν· ἢ «λιγυρῶς» ἤτοι γλυκερῶς, λιγὺς γὰρ ὁ γλυκύς· ἢ οὐχ ἡδύτητί τινι, ἀλλὰ λυπηρῶς καὶ ὀξέως. Τὰ δὲ ἐλεγεῖα ἐπὶ κηδείαις ἁρμόζει θρηνεῖν, τουτέστιν ἐπὶ κηδευομένοις. Τῆς δὲ μετὰ etc. = Σ d 20, 17—22. Τὸ δὲ ἔπος εὐτόνω ς.] Ἔπος κυρίως ὁ ἔμμετρος στίχος, καταχρηστικῶς δὲ καὶ πᾶς λόγος· ἔπος λέγεται καὶ τόνος παρά τισιν, «ἑξαμέτροις τοῖς τόνοις κεχρῆσθαι».

308 Δεῖ γοῦν τὸν τόνον, ὅ ἐστιν ἔπος, εὐτόνως προφέρειν καὶ ἐν τούτῳ τῆς φωνῆς τοὺς λόγους καὶ τὰς πράξεις μιμεῖσθαι τῶν ἡρώων· ἡρωϊκὰς γὰρ πράξεις ἐν τῷ ἔπει ἐπῆλθεν ὁ ποιητής, ἃς οὐ χρὴ καταμαλάττειν τῇ μαλακίᾳ τῆς φωνῆς. Διομήδου ς . —Τὸ δὲ ἔπος εὐτόνω ς.] Ἔπος κυρίως ὁ ἔμμετρος λόγος λέγεται, κατ' ἐξοχὴν δὲ τὸ ἡρωϊκὸν μέτρον ἔπος ἐκάλεσεν· ὅπερ διδάσκει ἡμᾶς «εὐτόνως» ἀναγινώσκειν, τουτέστι συντόνῳ τῇ φωνῇ, καταλιμπάνον δὲ τὴν ἐκλελυμένην, ὡς καὶ ἡρώων ἀνδρῶν περιέχον ἱστορίας· καταχρηστικῶς δὲ καὶ πᾶς λόγος ἔπος λέγεται. Ἢ ἔπος ἐστὶ τὸ ἑξάμετρον· ἐκείνη δὲ ἡ ποίησις λέγεται ἔπος, ὅταν τὸ σωμάτιον ὅλον ἐκ τοῦ ἡρωϊκοῦ στίχου σύγκειται. Ἔπος δὲ ἀπὸ τοῦ ἕπεσθαι τῷ μέτρῳ. Τὴν δὲ λυρικὴν ποίησιν ἐμμελῶ ς.] Ἡ λυρικὴ ποίησις καὶ πρὸς βάρβιτον καὶ αὐλὸν καὶ κιθάραν ᾄδεται, ἀπὸ τοῦ καλλιστεύοντος δὲ λυρικὴ ὠνόμασται. Λύρα δὲ ἐλέχθη λύτρα τις οὖσα· ὁ γὰρ Ἑρμῆς σοφισάμενος χελώνην ἐκδεῖραι καὶ κατασκευάσαι τῷ Ἀπόλλωνι κιθάραν λύτρον ἀντὶ τῆς κλεψίας τῶν βοῶν ἐποίησεν. Τὴν δὲ λυρικὴν ποίησιν ἐμμελῶ ς.] = Σ d 21, 12—13; Σ v 173, 28—174, 4; Σ d 21, 17—21. Τοὺς δὲ οἴκτους ὑφειμένως καὶ γοερῶ ς·] τουτέστι τοὺς θρήνους ταπεινῶς καὶ κατανυκτικῶς. Καὶ τοὺς μὲν οἴκτους οὐκ ἐν ὡρισμένῳ εὑρήσεις μέτρῳ, ἀλλ' ἐν παντὶ λόγῳ καὶ ποιήματι ὀλοφυρμὸν καὶ ἐλεεινολογίαν. Δεῖ γοῦν ἐν ἑκάστῳ ποιήματι τὸν τόπον τῆς ἐλεεινολογίας παραφυλάττειν καὶ παρ' αὐτὰ ἀναπαύειν, ὡς ἂν κεκμηκότας τῷ πάθει. Τοὺς δὲ οἴκτους ὑφειμένως καὶ γοερῶ ς·] τουτέστι τοὺς θρήνους ταπεινῶς καὶ κατανυκτικῶς. Εἶδος etc. = Σ v 174, 5—13. Τὰ γὰρ μὴ παρὰ τὴν τούτων γινόμενα παρατήρησι ν.] Εἰρηκὼς etc. = Σ d 22, 1—13. Καὶ τὰς ἕξεις τῶν ἀναγινωσκόντων καταγελάστους παρίστησ ι.] Τοῦ ἀναγνωστικοῦ μέρους διαιρουμένου εἰς τρία, εἴς τε ὑπόκρισιν καὶ διαστολὴν καὶ προσῳδίαν, ἐδίδαξεν ἡμᾶς ὁ τεχνικὸς πῶς δεῖ προβάλλεσθαι τὴν ὑπόκρισιν ἐν τραγῳδίᾳ καὶ κωμῳδίᾳ καὶ λυρικῇ καὶ τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λοιποῖς ποιήμασι. Δεῖ γοῦν ἡμᾶς γνῶναι καὶ τὸ τέλειον κατὰ προσῳδίαν 〈καὶ〉 κατὰ διαστολήν· 〈καὶ〉 προσῳδία μὲν ὁ τόνος, διαστολὴ δὲ ἡ στιγμή. Τὰ γὰρ μὴ παρὰ τὴν τούτων γινόμενα παρατήρησι ν.] Ἡ παρά ἐνταῦθα ἐπὶ πλησιασμοῦ εἴρηται· ἡ γὰρ παρὰ πρόθεσις σημαίνει καὶ ἐγγύτητα, τουτέστι τὰ μὴ ἐγγὺς τούτων καὶ κατὰ τὴν αὐτῶν παρατήρησιν γινόμενα ἀναγνώσματα· σημαίνει καὶ χωρισμόν, ὡς ἐὰν εἴπῃ τις ἐπὶ χωρισμοῦ «πάντες συνήχθησαν ἐν τῇ διατριβῇ παρὰ τόνδε», τουτέστι χωρὶς τοῦδε· καὶ πάλιν ἐπὶ πλησιασμοῦ «πάντες συνήχθησαν παρὰ τόνδε», ἀντὶ τοῦ ἐγγὺς τοῦδε.

309 Ἐνταῦθα etc. = Σ ν 174, 18—24. Πόσοι τρόποι τῆς ἀναγνώσεως; Δυοκαίδεκα· ἀναλογία, ἐτυμολογία, συναλοιφή, διάλεκτος, ἱστορία, γραφή, σημαινόμενον, φράσις, μετάληψις στοιχείου, ἀδιάφορος τρόπος, μέτρον καὶ συνήθεια. Τί ἐστιν ἀναλογία; Ἡ τῶν ὁμοίων παράθεσις, δι' ἧς συνίστανται οἱ τῶν ὀνομάτων καὶ ῥημάτων κανόνες. Ἄλλως· ἡ τὸ πολυσχιδὲς τῶν ἀνθρώπων φθέγμα συντόμως παραδιδοῦσα. Τί ἐστιν ἐτυμολογία; Ἀνάπτυξις τῶν λέξεων ἁρμόζουσα τῇ φωνῇ, δι' ἧς καὶ τὸ ἀληθὲς σαφηνίζεται. Πόθεν ἐτυμολογία; Παρὰ τὸ ἐτύμως λέγειν ἤγουν ἀληθῶς, ἐξ οὗ καὶ κατὰ ἀναδιπλασιασμὸν ἐτήτυμον. Τί ἐστι συναλοιφή; Συνέλευσις καὶ συμφωνία δύο συλλαβήν. Ἄλλως· δύο συλλαβῶν κατὰ φωνήεντος ἕνωσις καταβολῇ τόνων. Κατὰ πόσους τρόπους γίνεται ἡ συναλοιφή; Κατὰ ἑπτά, ἁπλοῦς μὲν τρεῖς· κατὰ θλῖψιν, ὡς τὸ ἐπ' ἐμέ ἀντὶ τοῦ ἐπὶ ἐμέ, κατὰ κρᾶσιν, οἷον τἀμά ἀντὶ τοῦ τὰ ἐμά, καὶ κατὰ συναίρεσιν, οἷον Νηρῇδες ἀντὶ τοῦ Νηρηΐδες· συνθέτους δὲ τέσσαρας· κατὰ θλῖψιν καὶ κρᾶσιν, οἷον κἀγώ ἀντὶ τοῦ καὶ ἐγώ, κατὰ θλῖψιν καὶ συναίρεσιν, οἷον ᾡπόλος ἀντὶ τοῦ ὁ αἰπόλος, κατὰ κρᾶσιν καὶ συναίρεσιν, οἷον τοὐμόν ἀντὶ τοῦ τὸ ἐμόν, καὶ κατὰ θλῖψιν καὶ κρᾶσιν καὶ συναίρεσιν, οἷον ἐν τᾀθιοπίᾳ ἀντὶ τοῦ ἐν τῇ Αἰθιοπίᾳ. Τί ἐστι διάλεκτος; Ἰδίωμα γλώττης. Τί ἐστι γλῶσσα; Εἶδος διαλέκτου. Πόθεν γλῶσσα; Ἀπὸ τοῦ κλώθω κλώσω κλῶσα καὶ γλῶσσα διπλασιασμῷ τοῦ ς καὶ τροπῇ τοῦ κ εἰςγ · ἢ ἀπὸ τοῦ γνώσω γνῶσα καὶ γλῶσσα τροπῇ τοῦ ν εἰς λ καὶ διπλασιασμῷ τοῦ ς , ἡ τὰ τῆς γνώσεως ἐξαγγέλλουσα. Πόσα σημαίνει γλῶσσα; Τρία· τὸ σῶμα, τὴν διάλεκτον καὶ τὸ ἀπεξενωμένον τῶν λέξεων. Πόσαι γλῶσσαι; Πολλαί. Πόσαι διάλεκτοι; Πέντε· Ἰάς, ἤγουν ἡ τῶν Ἰώνων, Ἀτθὶς ἡ τῶν Ἀθηναίων, Δωρὶς ἡ τῶν Λακεδαιμονίων, Αἰολὶς ἡ τῶν Βοιωτῶν, ἤγουν τῶν Θηβαίων, καὶ κοινή, ᾗτινι πάντες χρώμεθα κοινῶς. Πόθεν ἐκλήθη Ἰάς; Ἀπὸ Ἴωνος τοῦ υἱοῦ Κρεούσης τῆς Ἐρεχθέως θυγατρός. Πόθεν ἐκλήθη Αἰολίς; Ἀπὸ Αἰόλου υἱοῦ Ἕλληνος. Πόθεν ἐκλήθη Ἀτθίς; Ἀπὸ Ἀτθίδος τῆς Κραναοῦ θυγατρός. Πόθεν ἐκλήθη Δωρίς; Ἀπὸ Δώρου παιδὸς Ἕλληνος· περὶ ὧν προϊόντες πλατύτερον διδάξομεν. Ἰστέον 〈δὲ〉 ὅτι Ἰάδι μὲν ἔγραψεν Ὅμηρος, Ἀτθίδι Ἀριστοφάνης, Δωρίδι Θεόκριτος, Αἰολίδι Ἀλκαῖος καὶ κοινῇ Πίνδαρος. Σημείωσαι ὅτι Ἴωνες μέν εἰσιν οἱ περὶ Ἀσίαν, Ἀττικοὶ δὲ Ἀθηναῖοι, Δωριεῖς δὲ οἱ περὶ Ὀροβήν ( sic), Αἰολεῖς δὲ οἱ περὶ Σικελίαν. Περὶ διαλέκτων παρεκβληθεισῶν ἀπὸ τοῦ μητροπολίτου Κορίνθου = Gregorius Corinthius ed. Schaefer p. 1, 1—612, 2. § 3. Περὶ τόνου. Τί ἐστι τόνος; Ἀπήχησις φωνῆς ἐναρμονίου, τουτέστιν ἐκφώνησις ἔναρθρος καὶ ἐγγράμματος, ἢ κατὰ ἀνάτασιν, ὡς ἐν τῇ ὀξείᾳ, ἢ κατὰ ὁμαλισμόν, ὡς ἐν τῇ βαρείᾳ, ἢ κατὰ περίκλασιν, ὡς ἐν τῇ περισπωμένῃ. Τί ἐστιν ἀπήχησις; Ὁ ἦχος καὶ ἡ προφορὰ καὶ ἡ ἐκφώνησις.

310 Τί ἐστιν ἀνάτασις; Ὁ ὀξὺς τόνος, ἤγουν ὁ φθόγγος ὁ ἐπιτεταμένος. Τί ἐστιν ὁμαλισμός; Ἡ κατένεξις καὶ ὁ ὑπτιασμός. Τί ἐστι περίκλασις; Ὁ περισπώμενος τόνος, ὁ κεκλασμένον ἔχων τὸν φθόγγον. —Πόσαι ἀπηχήσεις φωνῶν; Τρεῖς· ἡ κατὰ ἀνάτασιν ἐν τῇ ὀξείᾳ, ἡ κατὰ ὁμαλισμὸν ἐν τῇ βαρείᾳ, ἡ κατὰ περίκλασιν ἐν τῇ περισπωμένῃ. —Πόσαι διαφοραὶ φωνῶν; Τέσσαρες· ἀναρμόνιος ἀγράμματος, ὡς ἡ τοῦ ψιττάκου φωνή· ἀναρμόνιος ἐγγράμματος, ὡς ὁ τῶν ἀνθρώπων στεναγμός· ἐναρμόνιος ἀγράμματος, ὡς ἡ τῶν προβάτων βληχή· ἐναρμόνιος ἐγγράμματος, ὡς ἡ τοῦ ἀνθρώπου φωνή. Τί ἐστιν ἐναρμόνιος φωνή; Ἡ συγκειμένη ἐξ ὀξείας

καὶ βαρείας καὶ περισπωμένης, ὡς ἡ τοῦ ἀνθρώπου φωνὴ καὶ πᾶσα [ἡ] μιμουμένη τὴν ἀνθρωπίνην φωνήν, οἷον κιθάρα, ὄργανον, σύριγξ. 〈Heliodori.〉 — Τόνος ἐστὶν ἀπήχησις φωνῆς ἐναρμονίο υ.] Ὁ μέσος τόνος παρὰ μὲν τοῖς μουσικοῖς ἐστιν ὁ μέσος ὢν ὑπάτης καὶ νήτης καὶ παρυπάτης καὶ παρανήτης· λέγεται δὲ ὁ μέσος τόνος καὶ συνῃρημένος καὶ κοινός, ὅταν γὰρ τοῦ μὲν βαρέος τόνου εὑρεθῇ ὀξύτερος, τοῦ δὲ ὀξέος βαρύτερος· ὑπάτη μὲν οὖν ἡ παρὰ τελευτὴν τὸν βαρὺν τόνον ἔχουσα, ἤγουν ἡ παροξύτονος, παρυπάτη δὲ ἡ προπαροξύτονος. Παρὰ δὲ τοῖς γραμματικοῖς μέσος τόνος ὁ περισπώμενος· 〈παρ〉 ἔχουσι δὲ τοῦτον ὁ βαρὺς τόνος καὶ 〈ὁ〉 ὀξὺς συναπτόμενοι ἀλλήλοις· διὸ καὶ συνεχῆ καὶ συνημμένον ἑκατέρου φαῖεν ἂν 〈αὐτὸν〉 οἱ σοφοί, ὥσπερ τινὰ κοινὸν ὅρον συναπτικὸν αὐτῶν ὄντα. Τὸ μὲν οὖν τονικὸν βαρὺ τῶν φθόγγων διάστημα ὑπάτην ἐπέχει τάξιν καὶ τάσιν δέχεται πρώτην· χρὴ γὰρ ἀπὸ βαρείας ἄρχεσθαι τὸν μουσικὸν καὶ διὰ μέσης εἰς ὀξεῖαν καταντᾶν. Τῶν φωνῶν αἱ μέν εἰσιν ἐγγράμματοι καὶ ἔναρθροι, αἱ δὲ ἀγράμματοι καὶ ἄναρθροι, αἱ δὲ ἐγγράμματοι καὶ ἄναρθροι, αἱ δὲ ἀγράμματοι καὶ ἔναρθροι. Καὶ εἰσὶ μὲν ἐγγράμματοι καὶ ἔναρθροι αἱ ἀπὸ νοῦ καὶ διανοίας ἀνθρώπου προφερόμεναι καὶ κεκραμέναι φωνῇ καὶ γραφῇ καὶ σημασίᾳ, οἷον «Ἀρίσταρχος βιβλίον γράφει»· ἀγράμματοι δὲ καὶ ἄναρθροι αἱ μήτε γραφόμεναι μήτε σημαίνουσαί τι, ὡς οἱ ψόφοι καὶ οἱ βόμβοι ἐν πυρὶ καὶ ὕδατι καὶ 〈οἱ〉 ἦχοι ἀνέμων· οὗτοι γὰρ μήτε γραφομένας μήτε σημαινούσας τι φωνὰς ἀποτελοῦσιν· αἱ δὲ ἐγγράμματοι καὶ ἄναρθροι, αἱ γραφόμεναι μὲν μηδὲν δὲ σημαίνουσαι, ὡς τὸ 〈Arist. Ran. 209〉 βρεκεκεκὲξ κοάξ καὶ πάλιν τὸ 〈Arist. Ran. 1285〉 φλαττόθρα τ· αἱ δὲ ἀγράμματοι καὶ ἔναρθροι, αἱ ἀπὸ νοῦ καὶ διανοίας προφερόμεναι, καὶ μὴ γραφόμεναι μὲν σημαίνουσαι δέ τι, ὡς οἱ συριγμοὶ καὶ ποππυσμοὶ τοῖς οἰκέταις ἢ καὶ τοῖς κτήνεσι προσφωνούμενοι καὶ σημαίνοντές τι. Τόνος ἐστί ν.

311 ] Ἐκεῖνα πειρᾶται παραβάλλειν etc. = Σ v 174, 28 —175, 20. Τόνος ἐστί ν.] Τὴν ὑπόκρισιν ἡμῖν etc. = Σ d 22, 15—22. Στεφάνο υ. —Καὶ ἀμήχανόν ἐστι etc. = Σ v 175, 22—33. Τῶν τόνων γνήσιοι μέν εἰσι δύο etc. = Σ v 175, 34—176, 13. 〈Heliodori.〉 — Ἡ κατὰ ἀνάτασιν ἐν τῇ ὀξεί ᾳ.] Οὐκ ἔστιν ἐνταῦθα τὸ η διαζευκτικὸς σύνδεσμος, ἀλλὰ ἄρθρον. Τῶν δὲ τόνων τρεῖς ἀπηχήσεις εἰσί· καὶ πρώτη μὲν ἡ κατὰ τὸν τεταμένον φθόγγον καὶ ὀξεῖαν φωνὴν ἀναπεμπομένη· ὀξεῖα δέ ἐστι ποιότης συλλαβῆς τεταμένον ἔχουσα φθόγγον· δευτέρα ἡ κατὰ τὸν δυσκίνητον φθόγγον προερχομένη καὶ λεγομένη· ἀπήχησις δὲ τρίτη ἡ κατὰ τὴν περικεκλασμένην φωνὴν λεγομένη. Ἡ κατὰ ἀνάτασι ν. ] —Διομήδου ς. —Ἀνάτασις ἡ ἄνω τάσις τῆς φωνῆς ἀπὸ τοῦ ἐπὶ τὰ ἄνω φέρεσθαι τὴν τῆς ὀξείας τάσιν· ὅθεν καὶ τὸ σημεῖον αὐτῆς τὴν ἐπὶ τὰ ἄνω φορὰν ἔχει. Ὀξεῖα δὲ εἴρηται ἀπὸ μεταφορᾶς τῶν δρομέων τῶν εὐκινήτως καὶ ὀξέως τρεχόντων· οὗτοι γὰρ ὄντες ὀξεῖς ἐπὶ τὰ ἄνω νεύουσιν. 〈Heliodori.〉 — Ἡ κατὰ ὁμαλισμὸν ἐν τῇ βαρεί ᾳ.] Κἀνταῦθα τὸ η ἄρθρον, ἀλλ' οὐ διαζευκτικὸς σύνδεσμος. Ὁμαλισμός ἐστιν ἡ κατένεξις καὶ ὁ κοιμισμός, ἤγουν ἡ ἠρεμαία καταφορὰ τῆς φωνῆς· ὁ γοῦν βαρὺς τόνος τὴν ἐναντίαν φορὰν ἔχει τοῦ προλεχθέντος ὀξέος τόνου. Βαρεῖα τοίνυν ἐστὶ ποιότης συλλαβῆς ὑφειμένον ἔχουσα φθόγγον. Διομήδου ς . —Ἡ κατὰ ὁμαλισμό ν.] Ὁμαλισμὸς etc. = Σ d 23, 8—12; 23, 5—8; 23, 14—17 (ἄνεισι). 〈Heliodori.〉 —Περισπωμένη δέ ἐστι ποιότης συλλαβῆς ἀνειμένον 〈καὶ ὑφειμένον〉 ἢ κεκλασμένον ἔχουσα φθόγγον, οἷον νόος νοῦς· εἴρηται δὲ περισπωμένη, ἐπεὶ περισπᾶται καὶ περιλαμβάνεται τῇ φωνῇ. Τὰς δὲ ἀπηχήσεις ποιεῖται κατά τε τὴν ὀξεῖαν καὶ τὴν βαρεῖαν· ἀμφοτέρων γὰρ καὶ τὴν σύνθεσιν ἔχει· καὶ δῆλον ὡς μικτὴ οὖσα καὶ φύσιν λαβοῦσα ἐπιτίθεσθαι μακραῖς ἐκπέφευγε τὸ ἐπικεῖσθαι ταῖς βραχείαις. Τῆς οὖν περισπωμένης τόποι δύο, ὁ ἐπὶ τέλους καὶ ὁ πρὸ 〈μιᾶς τοῦ〉 τέλους, οἷον Ἑρμῆς Μοῦσα· πρὸ δύο δὲ οὐ πίπτει, ἐπεὶ διαιρουμένη εἰς ὀξεῖαν καὶ βαρεῖαν ἔμελλεν ἔχειν τετάρτην ἀπὸ τέλους τὴν ὀξεῖαν, ὅπερ ἀδύνατον· οὐκ ἔστι γὰρ τάσις πρὸ τριῶν συλλαβῶν. —Σ d 23, 18—24, 7. Ἡ κατὰ περίκλασιν ἐν τῇ περισπωμέν ῃ. ] —Διομήδου ς. — Περίκλασις etc. = Σ d 23, 14—24 (αὐταῖς). Ὅρος φωνῆς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

312 —Τί ἐστι φωνή; Πλῆξις ἀέρος, ἢ ἀὴρ πεπληγμένος, ἢ φῶς νοῦ· εἰς φῶς γὰρ ἄγει καὶ δεικνύει τὰ ἐν τῷ νῷ ἀθέατα etc. (hariolatur scholasticellus de φωνῇ ἀσήμῳ et σημαντικῇ earumque speciebus). § 4 (4 et 5b). Περὶ στιγμῆς. Τί ἐστι στιγμή; Διανοίας ἀπηρτισμένης σημεῖον· καὶ ἄλλως· διάστημα σιωπῆς. Τί ἐστι διανοίας; Τουτέστι νοῦ, ἐννοίας. Τί ἐστιν ἀπηρτισμένης; Πεπληρωμένης. Τί ἐστι σημεῖον; Σύμβολον. —Πόσαι στιγμαί; Τρεῖς· τελεία, μέση, ὑποστιγμή. Τί ἐστι τελεία στιγμή; Ἡ ἔχουσα ἀπηρτισμένην καὶ τετελειωμένην τὴν διάνοιαν, ἤγουν ἡ μετὰ τὴν ἀπόδοσιν τῆς ἐννοίας καὶ τὴν ὅλην σύνταξιν τιθεμένη, οἷον παρὰ τῷ θεολόγῳ Γρηγορίῳ ἀναστάσεως ἡμέρᾳ καὶ ἡ ἀρχὴ δεξι ά. —Τί ἐστι μέση στιγμή; Σημεῖον πνεύματος ἕνεκεν παραλαμβανόμενον· καὶ ἄλλως· σημεῖον μεσαζούσης τῆς διανοίας μήτε τελείας οὔσης μήτε ἐκκρεμαμένης, ἤγουν ἡ ἐκκρεμῆ δηλοῦσα τὴν ἔννοιαν, οἷον μικροῦ Κυπριανὸς διέφυγεν ἡμᾶ ς. Τί ἐστι πνεύματος ἕνεκεν; Ἀναπνοῆς χάριν. —Τί ἐστιν ὑποστιγμή; Διανοίας μηδέπω ἀπηρτισμένης ἀλλ' ἔτι ἐνδεούσης σημεῖον, ἤγουν ἡ πρὸ τῆς ἀποδόσεως τιθεμένη, οἷον παρὰ τῷ Δημοσθένει 〈in Phil. III § 17〉 ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην τοιαῦτα πράττων καὶ κατασκευαζόμενο ς· ἐνταῦθα γὰρ ὑποστιγμὴ τίθεται, καὶ οὕτως ἕπεται ἡ ἀπόδοσις· οὗτος ἐμοὶ πολεμε ῖ , κἂν μήπω βάλῃ μηδὲ τοξεύ ῃ. —Ἄλλως. Τί ἐστιν ὑποστιγμή; Ἡ ἔχουσα ἐκκρεμαμένην τὴν διάνοιαν καὶ ἐπιζητοῦσα τὸ λεῖπον. —Τί διαφέρει στιγμὴ ὑποστιγμῆς; Χρόνῳ· ἐν μὲν γὰρ τῇ στιγμῇ πολὺ τὸ διάστημα, ἐν δὲ τῇ ὑποστιγμῇ παντελῶς ὀλίγον. —Πόθεν στιγμή; Ἀπὸ τοῦ ἵστημι στήσω ἔστιγμαι στιγμή· ἵστησι γὰρ τὴν φωνήν. 〈Heliodori.〉 —Στιγμαί εἰσι τρεῖ ς , τελεί α , μέσ η , ὑποστιγμ ή.] Περὶ τῶν στιγμῶν, τουτέστι περὶ διαστολῆς, διαλαμβάνει ὁ τεχνογράφος· ἔφθη γὰρ εἰπὼν ἐν τῷ περὶ ἀναγνώσεως· «ἐκ δὲ τῆς διαστολῆς τὸν περιεχόμενον νοῦν ὁρῶμεν»· διαστολὴ δέ ἐστιν ἡ στιγμή. Διαλλάσσει δὲ στιγμὴ διαστολῆς τούτῳ τῷ τρόπῳ, ὅτι ἡ μὲν στιγμὴ τὴν φωνὴν καὶ τὰ πνεύματα διίστησιν, ἡ δὲ διαστολὴ ἅμα τῇ φωνῇ καὶ τοῖς πνεύμασι καὶ τὰς διανοίας· ἀπὸ γὰρ τοῦ διαστέλλειν τὰ νοήματα διαστολὴ εἴρηται. Τῶν δὲ στιγμῶν διαφοραί εἰσι τρεῖς, τελεία, μέση, ὑποστιγμή, κατὰ τὸν Διονύσιο ν· κατὰ δὲ τὸν Νικάνορα ὀκτώ εἰσι στιγμαί· τελεία, ὑποτελεία, πρώτη ἄνω, δευτέρα ἄνω, τρίτη ἄνω, ὑποστιγμὴ ἐνυπόκριτος, ὑποστιγμὴ ἀνυπόκριτος, ὑποδιαστολή. Ὑποδιαστολὴ δέ ἐστι διάστασις γράμματος περὶ τὴν σύνταξιν ἀμφιβόλου. Στιγμαί εἰσι τρεῖ ς.] Σκοπὸν ἔχων etc. = Σ v 176, 18—177, 5. Στεφάνο υ. —Οὐ τρεῖς εἰσι στιγμαί etc. = Σ v 177, 6—32. Διομήδου ς. —Περὶ τοῦ ἀναγκαιοτάτου etc. = Σ d 24, 9—18 et 26, 8—28, 8. Στιγμή ἐστι διανοίας ἀπηρτισμένης σημεῖο ν.
313 ] — 〈Heliodori.〉 —Ἰστέον ὅτι τὸ «στιγμή» κατὰ κοινοῦ ἐπὶ τῶν τριῶν λαμβάνεται. Ἡ δὲ στιγμὴ διανοίας ἐστὶν ἀπηρτισμένης σημεῖον, καθ' ἣν τελεῖται ἡ διάνοια, οἷον 〈ex gr. A 84〉 τὸν δ ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύ ς· τέλειον γὰρ ἄχρι τούτου τὸ νόημα· ἡ γὰρ τελεία τότε τίθεται, ὅτε λήγει καὶ ἀπηρτισμένον ἐστὶ τὸ ἐνθύμημα· οὐδὲ γὰρ ὁ στίχος ἐλλιπὲς ἔχει τι τῆς διανοίας, ἀλλὰ τέλειός ἐστιν. Διομήδου ς. —«Διανοίας» δὲ ἀντὶ τοῦ νοῦ καὶ ἐννοίας, «ἀπηρτισμένης» τουτέστι πεπερασμένης καὶ πεπληρωμένης, «σημεῖον» ἤγουν σύμβολον, ἵν' ᾖ· «στιγμὴ τελεία ἐστὶν ἐννοίας πεπληρωμένης σύμβολον». Στιγμή ἐστι διανοίας ἀπηρτισμένης σημεῖον, ὡς ἄν τις εἴποι etc. = Σ d 24, 20—28 (παραλαμβ.). 〈Heliodori.〉 —Ἡ μέση στιγμὴ σημεῖόν ἐστι, φησίν, ἀναπαύσεως καὶ ἀνακωχῆς χάριν τοῦ πνεύματος· ἡ γὰρ μέση καὶ ἀπὸ τῆς προσηγορίας φανερά· σημεῖον γάρ ἐστι μεσούσης διανοίας, μήτε λίαν οὔσης πρὸς τέλος μήτε κρεμαμένης καὶ πρὸς συμπλήρωσιν ὀλίγου δεομένης· μέσως γάρ πως ἔχει ὁ νοῦς, ὡς ἂν εἴπωμεν 〈A 36〉 Ἀπόλλωνι ἄνακτ ι , τὸν ἠύκομος τέκε Λητ ώ, καὶ πάλιν 〈H 93〉 αἴδεσθεν μὲν ἀνήνασθα ι , δεῖσαν δ ' ὑποδέχθα ι· οὐ πάνυ γὰρ κρέμαται τὸ νόημα, οὐδὲ μὴν πεπλήρωται, ἀλλὰ μέσως πως ἔχει. Δεῖ γοῦν ἐν τῇ μέσῃ στιγμῇ παρατεῖναι τὸ πνεῦμα τὸν ἀναγινώσκοντα, καὶ μὴ διακόπτειν, τῆς διανοίας ἔτι μετεώρου οὔσης. Τὴν μέσην οὖν στιγμήν φησιν etc. = Σ d 24, 29—25, 22. 〈Heliodori.〉 Ὡς γὰρ εἴρηται, κρεμαμένην ἔχει τὴν διάνοιαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἐπιζητεῖ τὸ λεῖπον· διὸ καὶ καταβιβάζοντες ἐμφαντικώτατα τὴν φωνὴν ζητητικὴν αὐτὴν κατασκευάζομεν τῶν ἑξῆς, οἷον 〈A 81 seq.〉 εἴ περ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ, ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ. Ὥστε γοῦν μετὰ τὴν μέσην ἔσονται πάμπολλαι μέσαι, μετὰ δὲ τὴν ὑποστιγμὴν εὐθὺς ἡ τελεία· διὸ καὶ ὑποκάτω τοῦ γράμματος κεῖται ἡ ὑποστιγμή, τοῦ πράγματος ἐμφαίνουσα τὴν δύναμιν, καὶ ἡ τελεία ἄνω, ὥσπερ ἀναπαύουσα τὸ πνεῦμα. Τίνι διαφέρει στιγμὴ ὑποστιγμῆ ς;] Αὐτὸς ζητήσας καὶ τὴν λύσιν ἐπήνεγκε· καί φησιν, ὅτι χρόνῳ, τουτέστι τῷ διαστήματι. Τίνος δὲ χρόνῳ; Τῆς σιωπῆς, ὡς αὐτὸς ἐπιφέρει. Ζητητέον δὲ ποίῳ χρόνῳ· χρόνον μὲν γὰρ ἴσμεν τόν τε μακρὸν καὶ τὸν βραχύν, οἵπερ εἰσὶ συστολὴ καὶ ἔκτασις· τοῦτο δὲ οὐκ ἔστιν ἐν ταῖς στιγμαῖς· ἄδηλον οὖν, ποίῳ χρόνῳ διαφέρουσι.

314 Καὶ λεκτέον πρὸς τοῦτο, ὅτι χρόνον νῦν λέγει τὸ διάστημα τῆς σιωπῆς, ἵν’ ᾖ ὁ νοῦς οὕτω κατὰ ἀντίθεσιν καὶ λύσιν· Ἐν τίνι διενήνοχεν ἡ στιγμὴ τῆς ὑποστιγμῆς; Ἐν χρόνῳ, τουτέστιν ἐν διαστήματι τῆς σιωπῆς· ἡ μὲν γὰρ τελεία τέσσαρας ἔχει χρόνους σιωπῆς, ἡ δὲ μέση ἕνα, ἡ δὲ ὑποστιγμὴ ἥμισυν. Διομήδους καὶ Στεφάνο υ. —Ἰδοὺ τῶν δύο μέμνηται τῆς διαφορᾶς, τὴν μέσην παρωσάμενος. Τῷ χρόνῳ, φησί etc. = Σ v 178, 13 —179, 2. Ἡλιοδώρου εἰς τὸ αὐτό. — Ποίαν ἄρα στιγμὴν τῆς ὑποστιγμῆς φησι διαφέρειν ὁ τεχνικός; Δῆλον ὅτι τὴν μέσην· ἡ γὰρ τελεία ἤδη τελεία εἴρηται. Ζητητέον δὲ κατὰ τί διαφέρει ἡ μέση στιγμὴ τῆς ὑποστιγμῆς, ἐπειδὴ ταὐτὸν νομίζεται εἶναι. Χρόνῳ, φησί. Χρόνῳ δὲ ἐνταῦθα τῷ διαστήματι τῆς φωνῆς φησιν, ἤγουν καιρῷ, ὥρᾳ· ἡ γὰρ τελεία τέσσαρας ἔχει χρόνους σιωπῆς, ἡ δὲ μέση ἕνα, ἡ δὲ ὑποστιγμὴ ἥμισυν. § 5 (6b). Περὶ ῥαψῳδίας. Erotemata amplissima eademque admodum confusa. 〈Heliodori.〉 —Οὐ προσηκόντως ἐνταῦθα κεῖται ὁ περὶ ῥαψῳδίας λόγος· εἰ δ’ ἄρα ἔδει περὶ αὐτῆς διαλαμβάνειν, ἐν τῷ περὶ ποιητικῆς ἐχρῆν λόγῳ διαλήψεσθαι. Εἰ γὰρ ἡ ῥαψῳδία μέρος ἐστὶ ποιήματος, ἤγουν ποιήσεως, ὁ δὲ περὶ ποιήματος λόγος προσήκει τῷ περὶ ποιητικῆς λέγοντι, ἐν ἐκείνῳ ἔδει περὶ ῥαψῳδίας λέγειν· ἐνταῦθα δὲ οὐκ εὔκαιρον· ἡ γὰρ προκειμένη τέχνη τῶν μερῶν τοῦ λόγου ἐστί, τὰ δὲ μέρη τοῦ λόγου οὐκ ἔστιν ὅπερ ἡ ῥαψῳδία· εἰκότως οὖν ἄκαιροί μοι δοκοῦσιν εἶναι οἱ ἐνταῦθα περὶ ῥαψῳδίας διαλαμβάνοντες. Τὸ μὲν γὰρ διαλαμβάνειν περὶ στιγμῆς ἢ προσῳδίας ἢ ἀναγνώσεως οὐκ ἄτοπον· ταῦτα γὰρ μέρη καὶ μόρια τῆς γραμματικῆς εἴποι τις ἄν. Ἀλλ’ ἐπειδὴ τὴν ἀνάγνωσιν ἔφασκεν εἶναι ποιημάτων ἢ συγγραμμάτων ἀδιάπτωτον προφοράν, μέρος δὲ ποιήματός ἐστιν ἡ ῥαψῳδία καὶ μάλιστα νέοις ἐγνωσμένον, τούτου χάριν περὶ ῥαψῳδίας διέλαβε. Ῥαψῳδίας δὲ ἐκάλουν οἱ παλαιοὶ τὰ Ὁμηρικὰ ἔπη, παρόσον ἅμα ῥάβδῳ περιιόντες ἐμελῴδουν αὐτά. Ῥαψῳδία ἐστὶ μέρος ποιήματος ἐμπεριειληφός τινα ὑπόθεσι ν.

315 ] Φασί τινες ὅτι ἔπταισεν εἰπὼν τὴν ῥαψῳδίαν μέρος ποιήματος· ἡ ῥαψῳδία γὰρ μέρος ἐστὶ ποιήσεως, οὐ ποιήματος· ποίησις μὲν γὰρ καλεῖται πᾶσα ἡ πραγματεία, τουτέστι πᾶσα ἡ βίβλος, ὡς ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια, ποίημα δὲ ἡ ῥαψῳδία· τὰ γὰρ ποιήματα, ἤγουν τὰ τῆς ὅλης ποιήσεως μέρη, ῥαψῳδίαι καλοῦνται, ὡς ἡ A, ἡ B καὶ αἱ ἑξῆς. Φαμὲν 〈δὲ〉 ἡμεῖς, ὅτι ὡς πρὸς τὴν γενικωτάτην ποίησιν ποίημα ἂν εἴη πᾶσα ἡ Ἰλιάς, μέρος δὲ ποιήματος ἡ ῥαψῳδία· καλῶς οὖν εἶπε μέρος εἶναι ποιήματος καὶ οὐ τῆς ὅλης ποιήσεως ἑκάστην ῥαψῳδίαν· καὶ ἔστιν ὁ νοῦς οὕτως· ῥαψῳδία ἐστὶν ἀπόκομμα ποιήματος περιλαβὸν καὶ ἔχον ἐν ἑαυτῷ ὀλίγην καὶ μικρὰν καὶ λεπτήν τινα περιπέτειαν, τουτέστι καὶ αὐτὸ τὸ μέρος περιέχει τινὰ ἰδικὴν ὑπόθεσιν μὴ ἐμφερομένην ἐν τοῖς ἄλλοις μέρεσιν, ἀντὶ τοῦ συνεκτικήν. Ἡ μὲν γὰρ συνεκτικὴ καὶ ὁλοσχερὴς φέρε εἰπεῖν τῆς Ἰλιάδος ἡ τῆς Ἑλένης ἐστὶν ἁρπαγή, ἡ δὲ κατὰ μέρος κατὰ ῥαψῳδίαν, ὡς ἡ μὲν A Ὁμήρου περιέχει μάχην Ἀχιλλέως καὶ Ἀγαμέμνονος, εἶτα καὶ τὸν Χρύσην ἀφικόμενον εἰς τὸν ναύσταθμον τῶν Ἑλλήνων καὶ δεόμενον αὐτῶν διὰ τὴν θυγατέρα· ὁμοίως καὶ ἡ B τὴν ἀπάτην τοῦ ὀνείρου, ἡ δὲ Γ τὴν μονομαχίαν Μενελάου καὶ Ἀλεξάνδρου, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰ ἑξῆς· καὶ ἑκάστης λοιπὸν ῥαψῳδίας ἡ ὑπόθεσις μέρος καλεῖται. Διομήδου ς. —Ἐπειδὴ οἱ ἀρχόμενοι etc. = Σ d 28, 11—18. 〈Heliodori.〉 — Εἴρηται δὲ ῥαψῳδί α.] Βούλεται ἐτυμολογῆσαι ὁ τεχνικός, τίνος ἕνεκεν ῥαψῳδία εἴρηται· καί φησιν «οἱονεὶ ῥαβδῳδία τις οὖσα»· ὕστερον δὲ ῥαψῳδία ἐκλήθη κατὰ μεταβολὴν τοῦ βδ εἰςψ · συγγενῆ γὰρ ἀλλήλοις τὰ στοιχεῖα. Ἀπὸ τοῦ δαφνίνῃ ῥάβδῳ περιερχομένου ς.] Ῥαψῳδία εἴρηται ἀπὸ τοῦ συνερράφθαι ἐκ διαφόρων λέξεων καὶ νοημάτων τὰ ἔπη, ἐξ ὧν ὑφαίνεται ἡ ὑπόθεσις· ἐρράφθαι δέ ἐστιν, ὡς ἴσμεν, τὸ κατεσκευάσθαι· ἐπειδὴ τὰ ἔπη συρράπτεται καὶ κατασκευάζεται ἐκ διαφόρων λέξεων καὶ νοημάτων, καὶ οὕτως ἐξυφαίνεται τὰ τῆς ὑποθέσεως. Ῥαβδῳδία δὲ εἴρηται ἡ ἐπὶ ῥάβδῳ ᾠδή· οἱ γὰρ μεθ' Ὅμηρον τὰ αὐτοῦ ποιήματα περιερχόμενοι ᾖδον, ῥάβδον δαφνίνην κατέχοντες, σύμβολον Ἀπολλωνιακόν, ἤγουν ἀπό τε τῆς ῥάβδου καὶ τῆς ᾠδῆς ἐτυμολογεῖται ἡ ῥαψῳδία. Ἦν δέ, ὥς φασιν etc. = Σ v 179, 11—19. Στεφάνο υ. —Ποιήσεως ἐρχῆν εἰπεῖν etc. = Σ v 179, 26—180, 7. Τοῦ αὐτο ῦ. —Ὁ ἐμπεριεχόμενος νοῦς etc. = Σ v 180, 9—17. Διομήδου ς.

316 —Βούλεται ἐτυμολογῆσαι etc. = Σ d 28, 24—29, 15. 〈Heliodori.〉 —Ἢ διὰ τὸ ἀειθαλὲς τοῦ φυτοῦ καὶ τὸ ἀειθαλὲς τῆς Ὁμήρου ποιήσεως· ἢ ὅτι μαντικὴ ἡ δάφνη, οἱ γὰρ μαντευόμενοι ἐδαφνηφάγουν, μαντικὴ δὲ καὶ ἡ ποιητική· οὐκ ἂν γὰρ εἴη τις τέλειος ποιητής, εἰ μὴ ἱστορήσει καὶ διηγήσεται καὶ μαντεύσεται· ὡς καὶ ὁ ποιητὴς φαίνεται μαντευσάμενος, ἐν οἷς φησιν ἐκ προσώπου τοῦ Ποσειδῶνος 〈Υ 307 seq.〉 . νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει, καὶ παῖδες παίδων, τοί κεν μετόπισθεν ἔσονται· ὅτι δὲ ἀληθῆ ἐμαντεύσατο, δηλοῦσι καὶ μαρτυροῦσι τὰ Ῥωμαϊκὰ πράγματα, ἐξ Αἰνείου τοῦ Ἀγχίσου τὴν βασιλείαν διαδεξάμενα καὶ ἕως τοῦ νῦν τῶν ἔτι οἰκούντων τὴν Τροίαν βασιλεύοντα. Ἢ ὅτι ἐνθουσιαστικὸν τὸ φυτόν, ἐνθουσιαστικὴ δὲ καὶ ἡ ποιητικὴ κατὰ τὸν Πλάτωνα· φησὶ γὰρ ὁ φιλόσοφος 〈cfr Phaedr. 245 A〉 «ὅστις δὲ ἄνευ μανίας ἐπὶ ποιητικὰς ἔρχεται θύρας, ἀτελής τε αὐτὸς καὶ ἡ ποίησις αὐτοῦ». Ἐπιστητέον δὲ ὅτι εἰ μὲν ἀπὸ τῆς Ἰλιάδος ᾖδον οἱ Ὁμηρίδαι, φοινικοῦν ἐφόρουν στέφανον διὰ τὸ περὶ ἐκχύσεως αἱμάτων λέγειν αὐτοὺ ς τὴν ὑπόθεσιν, εἰ δὲ ἀπὸ τῆς Ὀδυσσείας, κυάνεον, διὰ τὸ τοιοῦτον εἶναι τὸ θαλάττης χρῶμα, περὶ ἣν ἐγένετο τοῦ Ὀδυσσέως ἡ πλάνη. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἔν τινι χρόνῳ etc. = Σ d 29, 17—30, 22. § 6 (7b). Περὶ στοιχείου. Διδάξας ἡμᾶς etc. = Σ v 182, 5—12 (σώματα). 〈Heliodori.〉 —Ὁρίζεται δὲ τὸ στοιχεῖον ὁ μὲν Κράτης οὕτω, «φωνῆς μέρος [τὸ] ἐλάχιστον»· «μέρος ἐλάχιστον» εἶπεν ὡς πρὸς τὸ ὅλον σύστημα τῆς ἐγγραμμάτου φωνῆς· ὁ δὲ Ἀριστοτέλης οὕτως, «ἁπλῆ καὶ ἀδιαίρετος φωνὴ τῆς κατὰ σύνταξιν»· ἄλλοι οὕτως, «ἐκφώνησις ἀμερής»· οἱ δὲ οὕτως, «ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή», ἢ «φωνῆς Ἑλληνίδος φθόγγος ἐλάχιστος». Οἱ δὲ πάλιν, «φωνὴ ἐγγράμματος ἀμερής»· καὶ «ἐγγράμματος» μὲν διὰ τοὺς βόμβους καὶ συριγμούς, «ἀμερής» δέ, ἐπειδὴ ἑκάστη μὲν λέξις καὶ συλλαβὴ δύναται μερισθῆναι, ἡ μὲν λέξις εἰς συλλαβάς, ἡ δὲ συλλαβὴ εἰς στοιχεῖα· τὸ δὲ στοιχεῖον ἀμερές ἐστι, καθὼς ἤδη εἰρήκαμεν.

317 Εἰ δέ τις εἴποι, ὅτι τὸ Τ στοιχεῖον δύναται μερισθῆναι εἴς τε Ι καὶ μακράν, ἴστω ὅτι τῆς μὲν γραμμῆς δυνατὸν γενέσθαι διαίρεσιν, τῆς δὲ φωνῆς ἀδύνατον· ὁ δὲ στοιχείου λόγος οὐδὲν προσήκει τῷ γράμματι. Ἄλλως τε πάλιν· στοιχεῖόν ἐστιν etc. = Σ d 31, 10—18. 〈Heliodori.〉 — Τούτῳ γοῦν τῷ στοιχείῳ παρέπεται τέσσαρα, ὄνομα, χαρακτὴρ ἤτοι σχῆμα, θέσις καὶ δύναμις. Καὶ ὄνομα μὲν ὃ ὀνομάζεται ἕκαστον, ὡς ὅταν εἴπωμεν ἄλφα βῆτα· σχῆμα δὲ ὁ ὑποκείμενος ἑκάστου τύπος, οἷον τοῦ μὲν Α τρεῖς εἰσι γραμμαί, καὶ λέγεται τρίγραμμον, τοῦ δὲ Ι μία, καὶ ἔστι μονόγραμμον· θέσις δέ, ὅτι τὰ μὲν προτάσσεται, τὰ δὲ ὑποτάσσεται· δύναμις δὲ ἡ ἐξ αὐτῶν ἀποτελουμένη φωνή, οἷον ὅτι τὰ μέν ἐστι μακρὰ τὰ δὲ βραχέα, τὰ δὲ ψιλὰ τὰ δὲ δασέα, τὰ δὲ διπλᾶ τὰ δὲ ἁπλᾶ, τὰ δὲ μεταβολικὰ τὰ δὲ ἀμετάβολα, τὰ δὲ φωνήεντα τὰ δὲ σύμφωνα. Αἰτίαν δὲ τῆς τάξεως οἶδεν οὐδὲ εἷς· φύσεως γάρ εἰσιν εὑρήματα· ἐν μὲν γὰρ τοῖς πρώτοις τὸ ἰῶτα τρισύλλαβον, ἐν δὲ τοῖς τελευταίοις τὸ ψῖ μονοσύλλαβον· καὶ τὸ μῦ δὲ ἐν τοῖς πρώτοις εἰς υ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λήγει, τὸ δὲ ψῖ ἐν τοῖς ἐσχάτοις εἰς ι . —Στοιχεῖα δὲ εἴρηνται ἐκ τοῦ στιχηδὸν γράφεσθαι στιχεῖον, καὶ πλεονασμῷ τοῦ ο στοιχεῖον· οἱ δὲ πλεονασμῷ τοῦ ς στοιχεῖόν φασιν, ἐν γὰρ τοῖς τοίχοις ἐγράφοντο πρότερον. Πάλιν οὖν λέγουσιν ἄλλοι ὀνομασθῆναι αὐτὰ ἀπὸ τοῦ στείχω, ἐξ οὗ γίνεται στοῖχος· καὶ ὥσπερ ἀπὸ τοῦ πρῶτος γίνεται πρωτεῖον, καὶ ἀπὸ τοῦ κάλλιστος καλλιστεῖον, καὶ ἀπὸ τοῦ ἄριστος ἀριστεῖον, οὕτω καὶ ἀπὸ τοῦ στοῖχος στοιχεῖον. Τινὲς δέ φασι στοιχεῖα αὐτὰ ὀνομασθῆναι ἐκ μεταφορᾶς τῶν κοσμικῶν στοιχείων· ὃν τρόπον γὰρ ἐκεῖνα τῇ μίξει τῇ πρὸς ἄλληλα τὰ ἡμέτερα σώματα καθίστησί τε καὶ ἀποτελεῖ, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τούτων τῶν στοιχείων τῇ πρὸς ἄλληλα κοινωνίᾳ ἀποτελοῦνται αἱ συλλαβαί, καὶ ἀπὸ συλλαβῶν ἡ τῶν λέξεων σύστασις. Τί ἐστι στοιχεῖον; Φωνῆς Ἑλληνίδος φθόγγος ἐλάχιστος· καὶ ἄλλως· ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή. Διὰ τί εἶπεν «ἀμερής»; Διότι οὐ μερίζεται, ὡς ἡ συλλαβή· τὴν γὰρ μη συλλαβὴν δύναμαι μερίσαι εἰς τὰ ἐξ ὧν συνέστηκεν, ἤγουν εἰς τὸ μ καὶ εἰς τὸη · τὸ δὲ στοιχεῖον ἀμερές ἐστιν. —Ποσαχῶς τὸ στοιχεῖον; Τριχῶς· στοιχεῖον ἡ ἐκφώνησις, στοιχεῖον ὁ χαρακτήρ, στοιχεῖον καὶ τὸ ὄνομα. Καὶ διὰ τί λέγεται τριχῶς; Διότι καὶ τῷ ἀνθρώπῳ τρία παρέπεται, τὰ τῆς ψυχῆς, τὰ τοῦ σώματος καὶ τὰ 〈τῶν〉 ἐκτός· τὰ τῆς ψυχῆς μέν, ὡς οἱ μὲν τῶν ἀνθρώπων εἰσὶν ἔμφρονες, οἱ δὲ ἄφρονες· τὰ τοῦ σώματος δέ, ὡς οἱ μέν εἰσιν ἰσχυροί, οἱ δὲ ἀδύνατοι· τὰ τῶν ἐκτὸς δέ, ὡς οἱ μέν εἰσι πλούσιοι, οἱ δὲ πένητες. —Πόσα παρέπεται τῷ στοιχείῳ; Ἕξ· ὄνομα, σχῆμα, θέσις, χαρακτήρ, ἐκφώνησις καὶ δύναμις· ὄνομα μέν, ὡς ὅταν λέγωμεν ἄλφα βῆτα γάμμα· σχῆμα δέ, ὡς ὅτε τὰ μὲν μίαν γραμμὴν ἔχουσιν, ὡς τὸ Ι, τὰ δὲ πλείω, ὡς αἱ δίφθογγοι· θέσις δέ, ὡς τὸ μὲν α πρῶτον, τὸ δὲ β δεύτερον, ἢ ὅτι τὰ μὲν προηγοῦνται, τὰ δὲ ὑποτάσσονται· χαρακτὴρ δέ, ὡς τὸ μὲν τρίγωνον, τὸ δὲ ἡμικύκλιον, ἄλλο στρογγύλον καὶ ἄλλο ἄλλως σχηματισθέν· ἢ ὡς τὸ μὲν Α τρίγραμμον, τὸ δὲ Γ δίγραμμον, τὸ δὲ Δ τρίγωνον, τὸ δὲ Ο στρογγύλον· ἐκφώνησις δέ, καθὸ τὰ μὲν φωνήεντα φωνὴν ἀφ' ἑαυτῶν ἀποτελοῦσι, τὰ δὲ ἡμίφωνα παρ' ὅσον ἧττον τῶν φωνηέντων εὔφωνα καθέστηκεν ἔν τε τοῖς μυγμοῖς καὶ σιγμοῖς, τὰ δὲ ἄφωνα παντελῶς ἀμοιροῦσι φωνῆς ἰδίας· δύναμις δέ, ὡς τὸ μὲν μακρόν, τὸ δὲ βραχύ, ἢ δασὺ ἢ ψιλόν, ἢ φωνῆεν ἢ σύμφωνον.

318 —Πόθεν εἴρηται στοιχεῖον; Ἀπὸ τοῦ στείχω, ὃ δηλοῖ τὸ ἐν τάξει πορεύομαι, 〈ἐξ οὗ γίνεται στοῖχοσ〉 · τάξιν γὰρ ἔχουσί τινα, ὅτι τὰ φθάσαντα προταγῆναι οὐδέποτε ὑποτάσσονται· οὐ γὰρ ἀτάκτως καὶ ὡς ἔτυχεν ἐπιπλέκονται ἀλλήλοις τὰ στοιχεῖα, ἀλλ' ἁρμονίᾳ τινὶ φυσικῇ, ὡς ἐν τῷ πρῶτος τὸ π προετάγη τοῦ ρ ἐν μιᾷ συλλαβῇ, καὶ οὐδέποτε εὕρηται τὸ ρ του π προταττόμενον ἐν μιᾷ συλλαβῇ· ὁμοίως καὶ τὸ κ τοῦ λ ἐν τῷ κλέος, καὶ τὸ ς τοῦ θ ἐν τῷ σθένος, καὶ οὐδέποτε τὸ ἀναπάλιν· καὶ ὡς ἀπὸ τοῦ κάλλιστος γίνεται καλλιστεῖον, καὶ ἀπὸ τοῦ πρῶτος πρωτεῖον, οὕτω καὶ ἀπὸ τοῦ στοῖχος στοιχεῖον· ἁρμονίᾳ γάρ τινι ἐπιπλέκονται ἀλλήλοις τὰ στοιχεῖα. Διομήδου ς. —Ἀναγκαῖόν ἐστιν ἡμᾶς πρῶτον γνῶναι etc. = Σ d 31, 4—32, 9 et 35, 24—36, 13. Στεφάνου εἰς τὸ αὐτὸ καὶ περὶ γραμμάτων. —Στοιχεῖον εἴρηται etc. = Σ v 192, 12—23 et 182, 15—28. Πόσα στοιχεῖα; Εἰκοσιτέσσαρα. Καὶ πόσα γράμματα; Εἰκοσιεπτά; τὰ γὰρ στοιχεῖα καὶ γράμματα καλοῦνται, οὐ μὴν καὶ τὰ γράμματα στοιχεῖα. Πότε λέγονται γράμματα καὶ πότε στοιχεῖα; Ὅτε μὲν γράφονται, λέγονται γράμματα, ὅτε δὲ ἀναγινώσκονται, λέγονται στοιχεῖα. Διὰ τί λέγονται γράμματα; Διὰ τὸ γραμμαῖς καὶ ξυσμαῖς αὐτὰ τυποῦσθαι· γράψαι γὰρ τὸ ξύσαι παρὰ τοῖς παλαιοῖς, ὡς καὶ παρ' Ὁμήρῳ 〈Λ 388〉 νῦν δέ μ ' ἐπιγράψας ταρσὸν ποδὸς εὔχεαι αὔτω ς. Τίς ἐστιν ὁ ταρσός; Τὸ πλατὺ τοῦ ποδός, ὅ ἐστι πέλμα. Τί ἐστιν εὔχεαι; Καυχᾷ. Τί ἐστιν αὔτως; Ματαίως. Διὰ τί λέγονται στοιχεῖα; Διὰ τὸ στοῖχόν τινα καὶ τάξιν ἔχειν. 〈Heliodori.〉 —Γράμματα εἰπὼν εἰκοσιτέσσαρα ἐξέφυγε τὰς προσῳδίας, σὺν αὐταῖς δὲ καὶ τὰ παράσημα, τό τε ϛ , τὸ ϙ καὶ τὸϡ · γράμματα μὲν γάρ εἰσι, καθὰ τυποῦνται καὶ γράφονται τὰ τοιαῦτα παράσημα καὶ αἱ προσῳδίαι, στοιχεῖα δὲ οὐκ εἰσίν, ὅτι συμφυρόμενα ἀλλήλοις οὐ δύνανται συλλαβὴν ἀποτελεῖν, τὰ δὲ στοιχεῖα συμπλεκόμενα ἀλλήλοις 〈συλλαβὴν〉 ἀποτελεῖ· καὶ ὅτι τὰ μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παράσημα φωνὴν καὶ ἀριθμὸν ἔχουσιν, αἱ δὲ προσῳδίαι οὔτε ἰδίᾳ ἐκφωνεῖσθαι χωρὶς τῶν στοιχείων δύνανται, οὔτε ἀριθμοῦ ὅρον ἐπιδέχονται· τοίνυν ἄρα οὔτε παράσημα οὔτε προσῳδίαι στοιχεῖα. Ἀπὸ ἄλλου εἰς τὸ αὐτ ό. —Φασί τινες ὅτι ἀνακολούθως καὶ οὐχ ὑγιῶς ἐνταῦθα ὁ τεχνογράφος τὸν περὶ στοιχείου διδάσκει ἡμᾶς λόγον· προθέμενος γὰρ καὶ ἐπιγράψας «περὶ στοιχείου» οὐκ ἐπήγαγε «στοιχεῖόν ἐστιν», ὥσπερ εἰπὼν «περὶ ἀναγνώσεως», ἐπιφέρει «ἀνάγνωσίς ἐστι», καὶ «περὶ τόνου» «τόνος ἐστί», καὶ ἐφεξῆς ὁμοίως· ἐνταῦθα δὲ ἐπιγράψας «περὶ στοιχείου» οὐκ ἐπήγαγε «στοιχεῖόν ἐστιν», ἀλλὰ «γράμματά ἐστι», τὸν περὶ γραμμάτων λόγον ἐπαγαγών· ἔδει δὲ περὶ στοιχείων διαλαβεῖν καὶ οὐ περὶ γραμμάτων.

319 Λέγομεν οὖν πρὸς τοῦτο, ὅτι σκοπὸν ἔχει εἰσαγωγικὴν τέχνην γράφειν, εἰσαγωγικὴ δὲ ἡ παροῦσα τέχνη καὶ νέοις πεποιημένη· δεῖ δὲ τὸν οὕτω συγγραφόμενον τῶν γλαφυρωτέρων ἀφίστασθαι. Ἐπειδὴ γοῦν καὶ ὁ περὶ στοιχείου λόγος πολὺς ἦν καὶ πλέων ἢ κατὰ νέον, καὶ φιλοσοφικώτερος καὶ πολλῆς διδασκαλίας ἐδεῖτο, διὰ τοῦτο παρῆκεν αὐτόν, ἄκαιρον ἡγούμενος ἐν εἰσαγωγῇ τὴν διδασκαλίαν μεγίστην ποιήσασθαι, τῶν νέων ἀήθων ὄντων πρὸς τὴν τοιάνδε πρότασιν· μετέρχεται δὲ λοιπὸν ἐπὶ τὰ γράμματα, εἰδὼς ὅτι καὶ αὐτὰ στοιχεῖά ἐστιν, ὁπότε δύνανται τὴν ἐγγράμματον φωνὴν ἀποτελέσαι. Ὅτι δὲ οὐ διαφέρεται ὁ τεχνογράφος περὶ τῆς ὀνομασίας ταύτης, δῆλον· μικρὸν γὰρ προελθὼν τὰ αὐτὰ καὶ στοιχεῖα ἔφη κεκλῆσθαι διὰ τὸ στοίχῳ καὶ ἀκολουθίᾳ συντετάχθαι ἀλλήλοις· ὅταν γὰρ κατὰ τάξιν καὶ δεόντως γραφῇ, τότε τὴν ἐναρμόνιον φωνὴν ἀποτελεῖ, ἥτις ἐστὶ στοιχεῖον· στοιχεῖον γάρ ἐστιν ἡ ἀπὸ τῶν γραμμάτων καὶ τῶν λέξεων ἀποτελουμένη ἐκφώνησις. Τίνος ἕνεκεν εἰκοσιτέσσαρα τὰ γράμματα ἔφη; εἰ γὰρ γράμματά εἰσιν οἱ χαρακτῆρες καὶ αἱ ξυσμαί, γράμματα δὲ καὶ τὰ παρὰ Χαλδαίοις καὶ Ῥωμαίοις καὶ αἱ προσῳδίαι καὶ τὰ παράσημα ταῦτα ϛ ϙ ϡ , πῶς φησι γράμματα εἰκοσιτέσσαρα εἶναι; Ἔστιν οὖν εἰπεῖν, ὅτι περὶ τῶν ἐν χρήσει τοῖς Ἕλλησι διαλαμβάνει γραμμάτων, ταῦτα δὲ εἰκοσιτέσσαρα· ἢ ὅτι τοῖς στοιχείοις παρέπεται ἢ ἰδίᾳ ἢ σὺν ἄλλοις φωνὴν ἐγγράμματον ἀποτελεῖν, ὡς τὰ φωνήεντα καὶ τὰ σύμφωνα· ὃ οὐ συμβαίνει ταῖς προσῳδίαις καὶ τοῖς παρασήμοις. Καὶ τὰ μὲν στοιχεῖα τῇ κοινωνίᾳ τῇ πρὸς ἄλληλα συλλαβὴν ἀποτελεῖ, τὰ δὲ παράσημα μισγόμενα συλλαβὴν οὐκ ἔχει ἀποτελουμένην· ἀλλ’ οὐδὲ αἱ προσῳδίαι [οὔτε] ἐκφωνεῖσθαι χωρὶς τῶν στοιχείων δύνανται ἰδίᾳ. Τί ἐστι γράμμα; Σημεῖον στοιχείου, ὃ δὴ ἐν σχήματι γραφῆς ποσῷ ἢ ποιῷ καταλαμβάνεται· «ποσῷ ἢ ποιῷ» ἀντὶ τοῦ ἐν τοιῷδε σχήματι. Τί ἐστι γραμμή; Μῆκος ἀπλατές. Τί ἐστι ξυσμή; Σχῆμα καμπυλοειδές. Πόθεν εἴρηται γράμμα; Ἀπὸ τοῦ γλάφω, ὃ σημαίνει τὸ κοιλαίνω, ἐξ οὗ γλαφυρός, [καὶ] ὡς ἔχω ἐχυρός, κάπω καπυρός, ὁ ἡδὺς καὶ εὔβρωτος, διὰ τὸ ἀναπνεῖσθαι, ἀφ’ οὗ καπητὸν παρὰ τοῖς Ἰταλοῖς τὸ εἰς τροφὴν ἵππου διδόμενον· ἀπὸ γοῦν τοῦ γέγλαμμαι παθητικοῦ παρακειμένου γλάμμα, ὡς γλύφω γλύμμα, καὶ τροπῇ τοῦ λ εἰς ρ γράμμα.

320 Ζητητέον δέ, τίνος ἕνεκεν εἰπὼν «περὶ στοιχείου» etc. = Σ d 32, 15—22. —Καὶ ἐπὶ μὲν etc. = Σ d 33, 15—20. —Εὑρίσκομεν οὖν etc. = Σ d 32, 24—30 (διαφοραί), ὡς εἶναι πάσας ὁμοῦ διαφορὰς τοῦ α δέκα. Περισπωμένης δὲ μνήμην ἐπὶ τῶν βραχέων οὐκ ἐποιήσαμεν· οὐ γὰρ οἷόν τε ἦν τι τῶν βραχέων περισπᾶσθαι. Καὶ ταῦτα μὲν περὶ τοῦ α . Πῶς δὲ συνέστη ὁ ἀλφάβητος; Πρῶτον μὲν τῶν παρὰ τοῖς Ἕλλησι στοιχείων ἦν ἐξ ἐτυμολογίας τοῦ ἄλεφ, Ἑβραίων πρώτου στοιχείου, ὃ ἑρμηνεύεται μάθησις, ἐντελλόμενον τῷ εἰσαγομένῳ παιδίῳ «μάθε»· ἀφ’ οὗ ἄλεφ καὶ αὐτοὶ ὁμοίως μιμησάμενοι τὸ πρῶτον στοιχεῖον ἄλφα κεκλήκασι, καὶ συνεξεφωνήθη ἡ φράσις τῆς ἑρμηνείας τῆς Ἑβραΐδος τῇ Ἑλληνικῇ διαλέκτῳ, ἵνα εἴπῃ τῷ παιδίῳ ἄλφα, τουτέστι μάθε, ζήτει· τὸ ἀλφεῖν γὰρ ζητεῖν λέγεται ἐν τῇ Ἑλληνικῇ διαλέκτῳ. Ἀλλὰ καὶ ὡς πρώτου ὄντος στοιχείου τοῦ ἄλφα καὶ ἐκ θεοῦ δοθέντος τῷ γένει τῶν ἀνθρώπων, τοῦ ἀνοίξαντος τὸ στόμα εἰς σύνεσιν τῶν τὰ γράμματα μανθανόντων, διὰ μεγάλου ἀνοίγματος τοῦ στόματος ἐκφωνεῖται καὶ ἀπαγγέλλεται· τὰ δὲ ἄλλα τῶν στοιχείων διὰ βραχείας ἀνοίξεως τοῦ στόματος ἐκφωνεῖται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Οὔτε δὲ γράμματα εἶχον οἱ Ἕλληνες ἐξ ἀρχῆς, ἀλλὰ διὰ Φοινικείων γραμμάτων ἔγραφον τὰ ἑαυτῶν· καὶ γὰρ αὐτὰ τὰ Φοινίκεια τοῖς ὀνόμασιν, ὡς καὶ τὰ Ἑβραϊκά, κατὰ μίμησιν τῶν Ἑβραίων τοῖς Φοίνιξιν εὑρέθη. Παλαμήδης δ' ὕστερον ἐλθών, ἀρξάμενος ἀπὸ τοῦ ἄλφα, δεκαὲξ μόνα τοῖς Ἕλλησιν εὗρε στοιχεῖα, α β γ δ ε ι κ λ μ ν ο π ρ ς τυ · προσέθηκε δὲ αὐτοῖς Κάδμος ὁ Μιλήσιος γράμματα τρία, θ φ χ , διὸ καὶ πολλῷ τῷ χρόνῳ τοῖς δεκαεννέα ἐχρῶντο· ὅθεν οἱ ἀρχαῖοι μὴ ἔχοντες τὸ ψ τὴν ψαλίδα σπαλίδα ἔγραφον καὶ ἔλεγον, ἀλλὰ καὶ πολλὰ ῥήματα ἄλλως ἐξεφώνουν καὶ ἔγραφον. Μετὰ ταῦτα Σιμωνίδης ὁ Κεῖος εὑρὼν προσέθηκε δύο, η καὶ ω , Ἐπίχαρμος δὲ ὁ Συρακούσιος τρία, ζ ξ ψ , καὶ οὕτως ἐπληρώθησαν τὰ εἰκοσιτέσσαρα. Ὅθεν μιμησάμενος ὁ Ὅμηρος τὸν ἀριθμὸν τῶν εἰκοσιδύο βιβλίων τῶν παρ' Ἑβραίοις, εἰς τὸν τῶν εἰκοσιδύο στοιχείων τυπωθέντα ἀριθμόν, καὶ αὐτὸς τὴν ἰδίαν ποίησιν τῆς Ἰλιάδος τῶν εἰκοσιτεσσάρων ῥαψῳδιῶν διὰ τῶν εἰκοσιτεσσάρων στοιχείων ἐποίησεν· οὕτως δὲ καὶ τὴν Ὀδύσσειαν. Τί ἐστιν ἄλφα; Φωνῆεν δίχρονον μεταβολικὸν προτακτικὸν τοῦ ι καὶ τοῦ υ . Πόθεν ἄλφα; Ἀπὸ τοῦ ἀλφῶ, ὃ δηλοῖ τὸ ζητῶ καὶ τὸ εὑρίσκω, ἀφ' οὗ καὶ ἀλφησταὶ οἱ ἐφευρεταί· πρῶτον γὰρ τῶν ἄλλων εὑρέθη στοιχείων, καὶ ἀπὸ τούτου τὰ λοιπά· καὶ ὅτι ἀπ' αὐτοῦ ἄρχεται καὶ εἰς ἑαυτὸ καταλήγει, τὰ δὲ λοιπὰ ἀφ' ἑαυτῶν μὲν ἄρχονται, εἰς ἑαυτὰ δὲ οὐ καταλήγουσιν [ἡ πεῖρα μὲν γὰρ εἰς ἐμπειρίαν προκόπτει, ἡ δὲ ἐμπειρία εἰς τέχνην, ἡ δὲ τέχνη εἰς ἐπιστήμην, ἡ δὲ ἐπιστήμη εἰς τὴν καθόλου]· ἢ ἀπὸ τοῦ κατὰ ἀμοιβὰς πολιτεύεσθαι, ἄλφειν γὰρ τὸ ἀμείβειν· καὶ ὅτι τὸ ἄλφα πρῶτον εὑρέθη τῶν ἄλλων, διὸ καὶ τῷ ὀνόματι τῆς εὑρέσεως προσηγορεύθη· τὸ γὰρ ἀλφῶ τὸ εὑρίσκω σημαίνει· ἄλλως· διότι ἐν τοῖς δισυλλάβως προφερομένοις στοιχείοις ἀφ' ἑαυτοῦ ἄρχεται καὶ εἰς ἑαυτό, ὡς εἴπομεν, καταλήγει.

321 Τί ἐστι βῆτα; Σύμφωνον ἄφωνον μέσον τοῦ π καὶ φ . Πόθεν εἴρηται βῆτα; Ἀπὸ τοῦ βαίνω [χρησίμου], τὸ γὰρ βῶ ὑποτακτικόν ἐστιν· ὁ μέλλων βήσομαι, ὁ παρακείμενος βέβηκα, ὁ παθητικὸς βέβημαι βέβηται, καὶ ἐξ αὐτοῦ βῆτα, τὸ δευτέραν ἔχον τάξιν· ἐπιβέβηκε δὲ τῶν λοιπῶν. Τί ἐστι γάμμα; Σύμφωνον ἄφωνον μέσον τοῦ κ καὶ χ . Πόθεν γάμμα; Ἀπὸ τοῦ τὴν γῆν ἀμᾶν ἤτοι θερίζειν, δρεπανοειδὲς γάρ· ᾧ καὶ ὁ τύπος τοῦ γράμματος ὅμοιος. Τί ἐστι δέλτα; Σύμφωνον ἄφωνον μέσον τοῦ θ καὶ τ . Πόθεν εἴρηται δέλτα; Ἀπὸ τοῦ διάρτιόν τι εἶναι, ἤγουν τὸ μὴ ὂν ἐλλιπὲς τῇ ἐπάρσει, ἰσόπλευρον γάρ, οὗ οὐκ ἀφαιρούμεθά τι τῶν ἴσων, ἵνα ἴσα γένηται, ἐπεὶ οὕτως ἔτυχεν ἐκ τῆς κατ' ἀρχὴν ἐκτυπώσεως· ἄλλοι δὲ ἀπὸ τοῦ δέλτα τοῦ ἐξ ἀστέρων συγκειμένου ἐν τῷ οὐρανῷ, ὃ καὶ δελτωτὸν παρὰ τοῖς ἀστρονόμοις καλεῖται. Τί ἐστιν ε ; Φωνῆεν βραχὺ μεταβολικὸν προτακτικὸν τοῦ ι καὶ τοῦ υ . Πόθεν ἐκλήθη ἔ; Ἀπὸ τῆς τοῦ στόματος ὁμοιώσεως, ἐπεὶ τὸ μὲν πέριξ καὶ κυκλοτερὲς τὸ στόμα μιμεῖται, τὸ δὲ μέσον τὴν γλῶσσαν· ἢ ἀπὸ τῆς ἐπεκτάσεως τῆς ἐς μέσον καὶ τοῦ κυκλοτεροῦς· τὸ μὲν γὰρ κυκλοτερὲς καὶ πέριξ τοῦ ὄντος μιμεῖται τὰ πέριξ, τὸ δὲ εἰς μέσον μακρὸν τὴν ἔκτασιν τοῦ αἰῶνος. Πόσαι ἐκφωνήσεις τοῦ ε ; Τέσσαρες, ὅσαι καὶ τοῦ ο μικροῦ· ε δασὺ ὀξυνόμενον, ε δασὺ βαρυνόμενον, ε ψιλὸν ὀξυνόμενον, ε ψιλὸν βαρυνόμενον. Τί ἐστι ζῆτα; Σύμφωνον ἡμίφωνον διπλοῦν ἀρκτικὸν καὶ ἐν ἑαυτῷ ἔχον τὴν τοῦ ς 〈καὶ δ〉 δύναμιν. Πόθεν ἐκλήθη ζῆτα; Ἀπὸ Ζήτου τοῦ Βορέου, οὗ μέμνηται Ἀπολλώνιος 〈1, 211〉. Τί ἐστιν ἦτα; Φωνῆεν μακρὸν ἀμετάβολον προτακτικὸν τοῦ ι καὶ τοῦ υ . Πόθεν ἐκλήθη ἦτα; Ἀπὸ τοῦ 〈τοῦ〉 ι καὶ τοῦ τ ἔχειν τὸν χαρακτῆρα τὸ στοιχεῖον· ἡνίκα γὰρ πλαγίως τεθῇ, εὕρηται τὸ τ . Πόσαι ἐκφωνήσεις τοῦ η ; Ἕξ· η δασὺ ὀξυνόμενον, η δασὺ βαρυνόμενον, η δασὺ περισπώμενον· ἰδοὺ τρεῖς διαφοραί· καὶ ἀνάπαλιν τοσαχῶς ψιλούμενον, η ψιλὸν ὀξυνόμενον, η ψιλὸν βαρυνόμενον, η ψιλὸν περισπώμενον. Τί ἐστι θῆτα; Σύμφωνον ἄφωνον δασὺ ἀντιστοιχοῦν τῷ τ . Πόθεν ἐκλήθη θῆτα; Ἐκ τῆς θέσεως τοῦ παντός· μιμεῖται γὰρ τὴν θέσιν τοῦ οὐρανοῦ καὶ τὸν ἐν μέσῳ ἄξονα, τὴν κατὰ τὸ μέσον μακρὰν ἔχον καὶ τὸ κυκλοτερές. Τί ἐστιν ἰῶτα; Φωνῆεν δίχρονον ἀμετάβολον ὑποτακτικὸν 〈καὶ〉 τοῦ υ . Πόθεν ἰῶτα; Ἀπὸ τοῦ ἰοῦ τῶν ἰοβόλων ζῴων· ὥσπερ γὰρ ὁ ἰὸς εἰς

ὀρθὸν βαδίζει ᾧ πέπρωται, οὕτω καὶ ἡ τούτου γραφὴ ὀρθὴ οὖσα ἰῶτα καλεῖσθαι τέτακται· ἢ ἀπὸ τοῦ ἰοῦ, ὃ δηλοῖ τὸ βέλος. Πόσαι ἐκφωνήσεις τοῦ ἰῶτα; Δέκα, ὅσαι καὶ τοῦα · ι μακρὸν δασὺ ὀξυνόμενον, ι μακρὸν δασὺ βαρυνόμενον, ι μακρὸν δασὺ περισπώμενον· ἰδοὺ τρεῖς ἐκφωνήσεων διαφοραί· ι μακρὸν ψιλὸν ὀξυνόμενον, ι μακρὸν ψιλὸν βαρυνόμενον, ι μακρὸν ψιλὸν περισπώμενον· ἰδοὺ ἄλλαι τρεῖς διαφοραὶ ἐκφωνήσεων· ι βραχὺ δασὺ ὀξυνόμενον, ι βραχὺ δασὺ βαρυνόμενον, ι βραχὺ ψιλὸν ὀξυνόμενον, ι βραχὺ ψιλὸν βαρυνόμενον· ἰδοὺ ἄλλαι τέσσαρες διαφοραὶ ἐκφωνήσεων, ὡς εἶναι πάσας ὁμοῦ διαφορὰς τοῦ ι δέκα.

322 Τί ἐστι κάππα; Σύμφωνον ἄφωνον ψιλὸν ἀντιστοιχοῦν τῷ χ . Πόθεν εἴρηται κάππα; Ἀπὸ Κάππυός τινος, τούτου γὰρ εὕρημα; ἢ χόπα τι ὂν τὸ ἔχον ὄπα, τουτέστι φωνήν· τὰ γὰρ ψιλὰ ὑποκάτω τῆς γλώσσης ἔχει τὴν προφορὰν τῆς φωνῆς. Τί ἐστι λάμδα; Σύμφωνον ἡμίφωνον ἀμετάβολον ὑγρὸν [λεῖον] Πόθεν εἴρηται λάμδα; Οἱονεὶ λειόβα τι ὄν, ἀπὸ τοῦ λείως βαίνειν ἐν τοῖς μέτροις καὶ ἀσθενὲς εἶναι πρὸς τὸ μηκύνειν τὰς συλλαβάς. Τί ἐστι μῦ; Σύμφωνον ἡμίφωνον ἀμετάβολον ὑγρόν, ἐκφωνούμενον μυγμὸν ἐκπέμπον. Πόθεν μῦ; Ἀπὸ τοῦ μυγμόν τινα ἔχειν τὴν τούτου ἐκφώνησιν· μυγμὸς γὰρ ὁ τοῦ μῦ ἦχος διὰ τῶν μυκτήρων ἐξερχόμενος. Τί ἐστι νῦ; Σύμφωνον ἡμίφωνον ἀμετάβολον ὑγρόν, ἐκφωνούμενον 〈νυγμὸν ἐκπέμπον〉 . Πόθεν νῦ; Ἀπὸ τοῦ νυγμόν τινα ἔχειν τὴν τούτου ἐκφώνησιν. Τί ἐστι ξῖ; Σύμφωνον ἡμίφωνον διπλοῦν ἀρκτικὸν ἐν ἑαυτῷ ἔχον τὴν τοῦ κ 〈καὶ ς 〉 δύναμιν. Πόθεν εἴρηται ξῖ; Ἀπὸ τοῦ ξύεσθαι τῶν ἄλλων πλέον· ξύσματα γὰρ αὐτὰ τὰ στοιχεῖα. Τί ἐστιν ο ; Φωνῆεν βραχὺ μεταβολικὸν προτακτικὸν τοῦ ι καὶ τοῦ υ ἀντιστοιχοῦν τῷ ω μεγάλῳ. Πόθεν ἐκλήθη ὄ; Ἀπὸ τοῦ ἐμφερές τι εἶναι τῇ ἐκφωνήσει· κατὰ γὰρ περίκλασιν φωνῆς ἐκφωνεῖται τὸ ὄνομα τοῦ στοιχείου. Πόσαι ἐκφωνήσεις τοῦ ο ; Τέσσαρες, ὅσαι καὶ τοῦε · ο δασὺ ὀξυνόμενον, ο δασὺ βαρυνόμενον· ἰδοὺ δύο διαφοραὶ ἐκφωνήσεων· καὶ ἀνάπαλιν τοσαχῶς ψιλούμενον· ο ψιλὸν ὀξυνόμενον, ο ψιλὸν βαρυνόμενον· ἰδοὺ ἄλλαι δύο διαφοραὶ ἐκφωνήσεων. Τί ἐστι πῖ; Σύμφωνον ἄφωνον ψιλὸν ἀντιστοιχοῦν τῷ φ . Πόθεν εἴρηται πῖ; Ἀπὸ τοῦ παίω· ὡσεὶ παίοντος γὰρ καὶ κρούοντος ἦχός ἐστιν ὁ τούτου φθόγγος. Τί ἐστι ῥῶ; Σύμφωνον ἡμίφωνον ἀμετάβολον ὑγρὸν ἐκφωνούμενον ῥοῖζον ἐκπέμπον. Πόθεν εἴρηται ῥῶ; Ἀπὸ τοῦ ῥέω· ὑγρὰ γὰρ καὶ εὐμάλακτα καὶ ὡσεὶ ἔλαιον ῥεῖ ἐν τοῖς μέτροις τὰ ἀμετάβολα. Τί ἐστι σίγμα; Σύμφωνον ἡμίφωνον μοναδικόν. Πόθεν εἴρηται σίγμα; Ἀπὸ τοῦ σίζω, ὃ δηλοῖ τὸ ἠχῶ· σίζει γὰρ ἀπὸ τῆς τοῦ φθόγγου δυνάμεως. Τί ἐστι ταῦ; Σύμφωνον ἄφωνον ψιλὸν ἀντιστοιχοῦν τῷ θ . Πόθεν εἴρηται ταῦ; 〈Ἀπὸ τοῦ〉 τάγηνον· τοῦτο Ἰώνων τινὲς λέγουσι τήγανον. Ἡρωδιανὸς ἀπὸ τοῦ τήκω 〈τήκανον καὶ μεταθέσει τοῦ κ εἰς γ 〉 τήγανον καὶ καθ' ὑπέρθεσιν τάγηνον, οἷον 〈ubi?〉 ἐμοῦ δὲ ὥσπερ ἐπὶ ταγήνου ἔσιζεν ἡ καρδί α , καὶ κατετήκοντο αἱ σάρκε ς , καὶ αὐτόματα ἐχώρει κατὰ τῶν γνάθων τὰ δάκρυ α. Ἢ ὅτι ἐντεταμένας ἔχει τοῦ χαρακτῆρος τοῦ στοιχείου τὰς ἐντυπώσεις· ἀπὸ γὰρ μακρᾶς τῆς ἄνω καὶ τοῦ I τὸ γράμμα ἐστίν· ἐντεῦθεν καὶ ταὼς, ὁ τεταμένα ἔχων τὰ πτερά. Τὸν δὲ τοῦ Ἁλιρ〈ρ〉οθίου πέλεκυν, φησί, μιμησάμενον ἐνετυπώσατο τὸ γράμμα. Τί ἐστιν υ; Φωνῆεν δίχρονον ἀμετάβολον ὑποτακτικὸν καὶ τοῦ ι προτασσόμενον. Πόθεν υ; Ὅτι παρεοικός ἐστι τῷ τῶν ὑάδων προσώπῳ. Πόσαι ἐκφωνήσεις τοῦ υ ; Πέντε, διὰ τὸ μὴ ψιλοῦσθαι αὐτό· υ μακρὸν δασὺ ὀξυνόμενον, υ μακρὸν δασὺ βαρυνόμενον, υ μακρὸν δασὺ περισπώμενον, υ βραχὺ δασὺ ὀξυνόμενον, υ βραχὺ δασὺ βαρυνόμενον· ἰδοὺ πέντε διαφοραὶ ἐκφωνήσεων. Τί ἐστι φῖ; Σύμφωνον ἄφωνον δασὺ ἀντιστοιχοῦν τῷ π . Πόθεν εἴρηται φῖ; Ἀπὸ τοῦ φαιόν, ὃ δηλοῖ τὸ μέσον λευκοῦ καὶ μέλανος· τοιοῦτος γὰρ ὁ τούτου χαρακτήρ· ἢ ἀπὸ τοῦ φαιοῦ, ὃ δηλοῖ τὸ σκοτεινόν· οὕτω γὰρ καὶ τοῦτο περὶ τὴν ἐκφώνησιν κακόφωνόν ἐστι.

323 Τί ἐστι χῖ; Σύμφωνον ἄφωνον 〈δασὺ〉 ἀντιστοιχοῦν τῷ κ . Πόθεν χῖ; Ἀπὸ τοῦ χεομένην ἔχειν τὴν ἐκφώνησιν· ἄλλοι δὲ αὐτὸ σχῖ εἶπον, ὅτι ἔχει ὀξεῖαν καὶ βαρεῖαν 〈ἀλλήλασ〉 διὰ μέσου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σχιζούσας. Τί ἐστι ψῖ; Σύμφωνον ἡμίφωνον διπλοῦν ἀρκτικὸν ἔχον ἐν ἑαυτῷ τὴν τοῦ π 〈καὶ ς 〉 δύναμιν. Πόθεν ψῖ; Ἀπὸ τοῦ συριγμὸν ἔχειν τὴν τούτου ἐκφώνησιν, καὶ ὅτι συριγμός ἐστι μόνον· ἄλλοι δὲ ὅτι ἑνὸς ψαύει χρόνου διπλοῦν ὄν. Τί ἐστιν ω μέγα; Φωνῆεν μακρὸν ἀμετάβολον προτακτικὸν ἀντιστοιχοῦν τῷ ο μικρῷ. Πόθεν ὦ; Ἀπὸ τοῦ ἔω [ὦ], ὃ δηλοῖ τὸ ὑπάρχω ἐπειδὴ δὲ τοῦτο μακρὸν ὑπάρχον καὶ μακρὸν ἔχει χαρακτῆρα, διὰ τοῦτο ὁμοίαν τῷ χαρακτῆρι τὴν ἐκφώνησιν ἀπηνέγκατο. Πόσαι ἐκφωνήσεις τοῦ ω μεγάλου; Ἕξ· ω δασὺ ὀξυνόμενον, ω δασὺ βαρυνόμενον, ω δασὺ περισπώμενον· καὶ ἀνάπαλιν τοσαχῶς 〈ψιλούμενον〉 · ω ψιλὸν ὀξυνόμενον, ω ψιλὸν βαρυνόμενον, ω ψιλὸν περισπώμενον. Ἰδοὺ etc. = Σ d 34, 6—16 et 24—26. Διὰ τί εἰσιν εἰκοσιτέσσαρα γράμματα; Κατὰ μίμησιν τῶν εἰκοσιτεσσάρων ὡρῶν τοῦ νυχθημέρου· τὰ γὰρ φωνήεντα τὴν ἡμέραν μιμοῦνται, τὰ δὲ σύμφωνα τὴν νύκτα. 〈Heliodori.〉 —Εἰκοσιτέσσαρα λέγει αὐτὰ εἶναι ἀπὸ τοῦ αβ μέχρι τοῦ ω μεγάλου. Καλῶς τὴν ἀπαρίθμησιν καὶ τὴν ἑκάστου ὀνομασίαν τῶν στοιχείων περιέτεμεν, εἰπὼν ἀπὸ τοῦ αβ μέχρι τοῦ ω . Διὰ τί δέ, φασί, μηδὲ ἓν τῶν ἄλλων ὠνόμασε; Ῥητέον ὅτι εἰδὼς ὡς προεπαιδεύθη παρὰ τῷ γραμματιστῇ τὴν τούτων ἐξαρίθμησιν· εἰ γὰρ κατέλεξε τῶν εἰκοσιτεσσάρων στοιχείων τὰ ὀνόματα, ἐδόκει γραμματιστὴς εἶναι καὶ οὐ τεχνογράφος. Τί διαφέρει στοιχεῖον γράμματος; Ὅτι τὸ μὲν στοιχεῖον πάντως καὶ γράμμα ἐστί, τὸ δὲ γράμμα οὐ πάντως στοιχεῖον. 〈Heliodori.〉 —Διαφέρει στοιχεῖον γράμματος κατὰ τὸ ἐπὶ πλέον καὶ ἔλαττον· πᾶσα γὰρ γραμμὴ γράμμα ἐστίν, οὐ πᾶν δὲ γράμμα στοιχεῖον· οὐ γὰρ συμπλεκόμενα ἀλλήλοις φωνὴν ἐγγράμματον ἀποτελεῖ τὰ παράσημα καὶ αἱ προσῳδίαι· ἀλλὰ μόνα τὰ ἅπερ τῇ πρὸς ἄλληλα συμπλοκῇ ἐκφώνησιν ἀποτελεῖ· καὶ ἐξ ὧν σύγκειται τὰ σώματα, στοιχεῖα μὲν λέγονται, γράμματα δὲ οὔ. Διαφέρει δὲ πάλιν στοιχεῖον γράμματος, ὅτι τὸ μὲν στοιχεῖον ὄνομά ἐστι τῆς ἐκφωνήσεως, τὸ δὲ γράμμα ὄνομά ἐστι τοῦ χαρακτῆρος, ὡς ἔστι καὶ ἐκ τῶν ὅρων μαθεῖν· ὁριζόμεθα γὰρ τὸ στοιχεῖον λέγοντες οὕτω, «στοιχεῖόν ἐστι φωνὴ ἐγγράμματος ἀμερής»· τὸ δὲ γράμμα οὕτω, «γράμμα ἐστὶ σημεῖον στοιχείου ἐν σχήματι γραμμῆς ποιῷ ἢ ποσῷ καταλαμβανόμενον». Διαφέρει πάλιν στοιχεῖον γράμματος, ὅτι τὸ μὲν στοιχεῖον πάντως καὶ γράμμα, διαστελλομένων τῶν ἐξ ὧν σύγκειται τὸ πᾶν, τὸ δὲ γράμμα οὐ πάντως στοιχεῖον· καὶ γὰρ ὅτε γράφομεν τὴν προ , φαμὲν ὅτι ταῦτα καὶ γράμματα καὶ στοιχεῖα, διότι καὶ γράφεται καὶ στοιχεῖ καὶ ἀκολουθεῖ ἀλλήλοις κατὰ τὴν γραφὴν καὶ τὴν ἐκφώνησιν καὶ ἀποτελεῖ στοιχηδὸν τὴν προ συλλαβήν· εἰ δὲ γράφομεν ἐναλλὰξ ρπο , λέγομεν ταῦτα γράμματα εἶναι μόνον, καθὸ γράφονται, στοιχεῖα δὲ οὔ, καθὸ οὔτε στοιχεῖ οὔτε ἀκολουθεῖ ἀλλήλοις κατὰ τὴν ἐκφώνησιν.

324 Ἀρχὴ δέ ἐστι στοιχείων etc. = Σ v 196, 21—25. Ἀπὸ τοῦ αβ μέχρι τοῦ ω .] Διὰ τί οὐκ εἶπεν «ἀπὸ τοῦ α μέχρι τοῦ ω », ἀλλ' «ἀπὸ τοῦ αβ »; «Ἀπὸ τοῦ αβ » εἶπεν, ὅτι τὸ μὲν α τὸ γένος δηλοῖ, τὸ δὲ β τὸ εἶδος· ἢ ὅτι τὸ μὲν α οὐσίας σημαντικόν, τὸ δὲ β συμβεβηκότος· ἢ ὅτι [καὶ γὰρ] τὸ α ἓν πρόσωπον δηλοῖ, τὸ δὲ β δύο. Τινές φασι τοὺς χαρακτῆρας etc. = Σ d 32, 9—13. Τίνος δὲ ἕνεκεν εἰπὼν «περὶ στοιχείου» οὐκ ἐπήγαγε «στοιχεῖον», ἀλλὰ «γράμμα»; etc. = Σ d 32, 16—21 (πλείους), ἑξηκονταέξ, τῶν μὲν φωνηέντων με', τῶν δὲ συμφώνων κα'. Τὸ γὰρ εὑρισκόμενον etc. = Σ d 34, 16—23. 〈Heliodori.〉 — Γράμματα δὲ λέγεται διὰ τὸ γραμμαῖς καὶ ξυσμαῖς τυποῦσθα ι.] Εἴρηται γράμμα ἀπὸ τοῦ γλάπτω, ὃ σημαίνει τὸ κοιλαίνω· γίνεται γὰρ ὁ μέλλων γλάψω, ὁ παρακείμενος γέγλαφα, ὁ παθητικὸς γέγλαμμαι, ἀφ' οὗ ῥηματικὸν ὄνομα γλάμμα, καὶ κατὰ ἐναλλαγὴν τοῦ λ εἰς ρ γράμμα, οὗ τὸ πληθυντικὸν γράμματα, οἱονεὶ γλάμματά τινα ὄντα καὶ κοιλώματα· οἱ γὰρ παλαιοὶ τοῖς λίθοις ἐνεκόλαπτον τὰ γράμματα. Ἴσον δέ ἐστι τῷ ξύσαι τὸ γράψαι ἐν ταῖς χρήσεσι τῶν παλαιῶν, ὡς καὶ παρ' Ὁμήρῳ τὸ 〈Δ 139〉 ἐπέγραψε χρόα φωτός ἐν ἴσῳ ἐστὶ τῷ ἐπέξυσε, καὶ τὸ 〈Λ 388〉 νῦν δέ μ ' ἐπιγράψας ταρσὸν ποδός ἐν ἴσῳ τῷ ἐπιξύσας. Ἔνθεν καὶ γράβδις ἡ διεσχισμένη λαμπάς, καὶ γραῦς ἡ διεσχισμένη τὸ σῶμα διὰ γῆρας, καὶ ζωγράφος ὁ τῇ γραφίδι πρόσ〈ωπα〉 καταξύων. Τὴν ἐτυμολογίαν, τίνος χάριν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἴρηται γρ. etc. = Σ d 35, 14—21. Δεῖ δὲ εἰδέναι, ὅτι τὸ παλαιὸν etc. = Σ d 34, 27—35, 13. Τὰ δὲ αὐτὰ καὶ στοιχεῖα καλεῖται διὰ τὸ ἔχειν αὐτὰ στοῖχόν τινα καὶ τάξι ν.] Ἰδοὺ παρακατιὼν etc. = Σ v 197, 15—23. 〈Heliodori.〉 —Φαίη δ’ ἄν τις στοιχεῖα αὐτὰ εἰρῆσθαι κατὰ μίμησιν τῶν κοσμικῶν τεσσάρων στοιχείων· ὃν γὰρ τρόπον ταῦτα μετ’ ἀλλήλων συμπεπλεγμένα τὰ ἡμέτερα σώματα ὑγιᾶ τε καὶ τέλεια καθίστησι, τὸν αὐτὸν τρόπον καὶ τὰ στοιχεῖα ὁμωνύμως ἐκάλεσεν· ὅτε γὰρ κατὰ τάξιν καὶ δεόντως γράφεται, τότε τὴν ἐναρμόνιον φωνὴν ἀποτελεῖ.

325 [Τί ἐστι δύναμις; Φυσικῆς ἕξεως ἰσχύς.] Εἰς πόσα διαιροῦνται τὰ εἰκοσιεπτὰ γράμματα; Εἰς τρία· εἰς φωνήεντα, εἰς σύμφωνα καὶ εἰς ψήφους. Ἰστέον ὅτι τὸ ϛ , ἤτοι τὰ ἕξ, καὶ τὸ ϙ, ἤτοι τὰ ἐνενήκοντα, καὶ τὸ ϡ, ἤτοι τὰ ἐννακόσια, οὐ λέγονται στοιχεῖα, ἀλλὰ γράμματα, ὅτι πᾶν στοιχεῖον ἀφ’ ἑαυτοῦ ἄρχεται, ταῦτα δὲ οὐκ ἀφ’ ἑαυτῶν ἄρχονται. —Πόσα φωνήεντα; Ἑπτά, α ε η ι ο υ ω . —Διὰ τί «ἀπὸ τοῦ α μέχρι τοῦ ω μεγάλου»; Διὰ τὸ σύντομον, ὡς πρὸς εἰσαγομένους. —Διὰ τί τὸ ι κεῖται μέσον τῶν ἑπτὰ φωνηέντων, καὶ οὐκ εἰς ἀρχὴν ἢ τέλος; Διότι ἀσθενές ἐστι· καὶ Ὅμηρος 〈Δ 299 seq〉 κακοὺς δ ’ ἐς μέσ 〈σ〉 ον ἔλασσε ν , Ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίῃ πολεμίζο ι· ἢ διὰ τὴν τρισυλλαβίαν τοῦ ἰῶτα. 〈Heliodori.〉 — Τούτων φωνήεντα μέν εἰσιν ἑπτ ά.] Πρώτην διαίρεσιν ποιεῖταί σοι ὁ τεχνικὸς τῶν στοιχείων τὴν εἰς φωνήεντα 〈καὶ σύμφωνα〉 . Διαίρεσις δέ ἐστιν ἡ πρώτη τομὴ τῶν μηδέπω τετμημένων, ἐπιδιαίρεσις δὲ δευτέρα τομὴ τῶν ἅπαξ ἤδη τμηθέντων, ὑποδιαίρεσις δὲ τρίτη τομὴ τῶν δὶς ἤδη τμηθέντων. Ἰστέον γε μήν, ὡς ὅταν περὶ ἓν παρεπόμενον πρώτην καὶ δευτέραν καὶ τρίτην ποιησώμεθα διαίρεσιν, ἀπὸ τοῦ μείζονος ἐπὶ τὸ βραχύτερον τὴν διαίρεσιν μεταφέρομεν, ὅ ἐστιν ἐκ τῶν ἤδη τετμημένων μερῶν ἐπιτέμνομεν ἓν μέρος ἐπὶ τὸ αὐτὸ παρεπόμενον. Εἰσὶ γάρ, ὡς εἴπομεν, τρεῖς διαιρέσεις· καὶ τὴν μὲν πρώτην διαίρεσιν καλοῦμεν, τὴν δὲ δευτέραν ἐπιδιαίρεσιν, τὴν δὲ τρίτην ὑποδιαίρεσιν, οἷον ὡς ὅταν εἴπωμεν, περὶ ἓν παρεπόμενον τὸ κατὰ φωνὴν διαιροῦντες καὶ ἐπιδιαιροῦντες καὶ ὑποδιαιροῦντες, διαιροῦντες μὲν οὕτω, «τῶν στοιχείων τὰ μέν ἐστι φωνήεντα, τὰ δὲ σύμφωνα», ἐπιδιαιροῦντες δὲ οὕτω τὸ μέρος τὸ ἤδη τμηθὲν περὶ τὸ αὐτὸ παρεπόμενον ἅπαξ, «τῶν συμφώνων τὰ μέν ἐστι ἡμίφωνα, τὰ δὲ ἄφωνα», εἶτα ὑποδιαιροῦντες πάλιν οὕτω τὸ μέρος τὸ δὶς ἤδη τμηθὲν περὶ τὸ αὐτὸ παρεπόμενον τὸ περὶ φωνῆς, «τῶν ἀφώνων τὰ μέν ἐστι ψιλά, τὰ δὲ δασέα, τὰ δὲ μέσα», ταύτας τὰς τρεῖς διαιρέσεις εἰκότως διαίρεσιν καὶ ἐπιδιαίρεσιν καὶ ὑποδιαίρεσιν καλοῦμεν· αἱ γὰρ τρεῖς περὶ ἓν παρεπόμενον τὸ κατὰ φωνὴν γεγόνασιν, ὧν τὰς δύο ἐπιδιαίρεσιν 〈καὶ ὑποδιαίρεσιν〉 λέγω, ἐπειδὴ ἐκ μέρους τῶν ἤδη τμηθέντων τὴν διαίρεσιν ἐποιήσατο περὶ τὸ αὐτὸ παρεπόμενον. Ἡλιοδώρο υ. —Ἰστέον δὲ ὅτι ἀδύνατον ἐκ διαφόρων παρεπομένων γίνεσθαι διαίρεσιν· ὥσπερ γὰρ τῷ ἀνθρώπῳ παρέπεται τρία, τὰ τῆς ψυχῆς, τὰ τοῦ σώματος, τὰ 〈ἀπὸ〉 τῶν ἐκτός, καὶ διαιροῦντες αὐτὰ οὐ λέγομεν, ὅτι τῶν ἀνθρώπων οἱ μὲν ἔμφρονες, οἱ δὲ ἀσθενεῖς, οὐδὲ πάλιν τῶν ἀνθρώπων οἱ μὲν πλούσιοι, οἱ δὲ ἄφρονες, οὐδὲ τῶν ἀνθρώπων οἱ μὲν ταχεῖς, οἱ δὲ πένητες, ἀλλὰ διαιροῦντες τὰ τῆς ψυχῆς λέγομεν, ὅτι τῶν ἀνθρώπων οἱ μὲν ἔμφρονες, οἱ δὲ ἄφρονες, καὶ τὰ περὶ τὸ σῶμα διαιροῦντες λέγομεν, ὅτι τῶν ἀνθρώπων οἱ μὲν ἰσχυροί, οἱ δὲ ἀσθενεῖς, καὶ τὰ ἀπὸ τῶν ἐκτὸς διαιροῦντες λέγομεν, ὅτι τῶν ἀνθρώπων οἱ μὲν πλούσιοι, οἱ δὲ πένητες, οὕτω δὴ καὶ τῷ στοιχείῳ παρέπεται τρία, φωνή, δύναμις καὶ θέσις· καὶ δεῖ ποιεῖσθαι τὴν διαίρεσιν αὐτῶν περὶ ἓν παρεπόμενον, καὶ τὸ μὲν περὶ φωνὴν διαιροῦντας λέγειν, «τῶν στοιχείων τὰ μέν ἐστι φωνήεντα, τὰ δὲ σύμφωνα», τὸ δὲ περὶ δύναμιν, «τῶν στοιχείων τὰ μέν ἐστι μακρά, τὰ δὲ βραχέα», τὸ δὲ περὶ θέσιν, «τῶν στοιχείων τὰ μέν ἐστι προτακτικά, τὰ δὲ ὑποτακτικά».

326 —Προτάσσονται μὲν τὰ φωνήεντα τῶν συμφώνων εὐλόγως διὰ τὴν εὐφωνίαν, ἣν ἡ φύσις αὐτοῖς ἐχαρίσατο· προτάσσεται δὲ τῶν φωνηέντων τὸ α ὡς πρῶτον εὑρεθέν, ἀπὸ τούτου γὰρ ἄλφα ὠνόμασται παρὰ τὸ ἀλφῶ, ὃ δηλοῖ τὸ εὑρίσκω, ὡς καὶ παρὰ τῷ ποιητῇ 〈α 349〉 ἀνδράσιν ἀλφηστῇσι ν· καὶ κατὰ τοῦτο πάλιν προκέκριται τῶν ἄλλων τὸ α , καθὸ ἀπὸ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτοῦ στοιχείου ἄρχεται καὶ εἰς αὐτὸ καταλήγει, ὅπερ τοῖς ἄλλοις οὐ παρέπεται. Τὸ δὲ ι εἰς τὸ μέσον αὐτῶν τέτακται κατὰ τὸν ποιητήν, 〈Δ 299〉 κακοὺς δ ’ ἐς μέσσον ἔλασσε ν· ἀσθενέστερον γὰρ τῶν ἄλλων τὸ ι , καὶ διὰ τὴν ἀσθένειαν παντὶ μακρῷ ὑποτασσόμενον κατὰ σύλληψιν ἀνεκφώνητον μένει νικώμενον τῷ φθόγγῳ τῷ τῆς μακρᾶς· ὅμως διὰ τὸ ἀσθενὲς ἐχαρίσατο αὐτῷ ἡ φύσις τὴν τρισυλλαβίαν· ὅλων γὰρ τῶν ἄλλων στοιχείων ἢ μονοσυλλαβούντων ἢ δισυλλαβούντων τοῦτο μόνον ἔσχε τρεῖς συλλαβάς, λεγόμενον ἰῶτα. —Φασὶ δὲ τῶν Ἑλλήνων οἱ παῖδες, ταῦτα τὰ ἑπτὰ φωνήεντα δύναμιν ἔχειν κατὰ μίμησιν τοῦ οὐρανοῦ· κἀκεῖ γὰρ ἑπτά τινας εἶναι πλανωμένους ἀστέρας, ὧν ἡ ἐν οὐρανοῖς δύναμις μεγίστη, καὶ χωρὶς αὐτῶν οὐδὲν ἐπὶ γῆς ἐστι τικτόμενον, ὡς οὐδὲ χωρὶς τούτων συλλαβὴν ἀποτελουμένην ἔστιν ἰδεῖν. Διὰ τί εἰσιν ἑπτὰ φωνήεντα; Κατὰ μίμησιν τῶν ἑπτὰ ἀστέρων τῶν πλανήτων τοῦ οὐρανοῦ, ὧν τὰ ὀνόματα Κρόνος, Ζεύς, Ἄρης, Ἥλιος, Ἀφροδίτη, Ἑρμῆς καὶ Σελήνη. —Διὰ τί λέγονται φωνήεντα; Διότι φωνὴν ἀφ’ ἑαυτῶν ἀποτελοῦσιν. Εἰς πόσα διαιροῦνται τὰ ἑπτὰ φωνήεντα; Εἰς τρία· εἰς μακρά, εἰς βραχέα καὶ εἰς δίχρονα. Στεφάνου εἰς τὸ αὐτό. —Ζητεῖται τί δήποτε etc. = Σ v 197, 33—198, 22. Εἰς πόσα διαιροῦνται τὰ ἑπτὰ φωνήεντα; Εἰς τρία· εἰς μακρά, εἰς βραχέα καὶ εἰς δίχρονα.

327 Πόσα μακρά; Δύο, η καὶ ω . Καὶ ποῖόν ἐστι μακρότερον; Τὸ η . Διὰ τί; Διότι τὸ η κείμενον ἐπὶ τέλους κωλύει τρίτην ἀπὸ τέλους διδόναι τὴν ὀξεῖαν, οἷον ἁγιωσύνη δικαιοσύνη καὶ ἕτερα ὅμοια· τὸ δὲ ω κείμενον ἐπὶ τέλους οὐ κωλύει τρίτην ἀπὸ τέλους διδόναι τὴν ὀξεῖαν, οἷον ἔμπλεως Νικόλεως Μενέλεως καὶ ἕτερα. Διὰ τί λέγονται μακρά; Διότι ἐκ δύο φωνηέντων σύγκεινται καὶ εἰς δύο φωνήεντα ἀναλύεται, οἷον φάος φῶς, Δημοσθένεα Δημοσθένη. Καὶ διὰ τί τὸ η καὶ τὸ ω μόνα εἰσὶ μακρά, καὶ οὐκ ἄλλο φωνῆεν; Ἐπειδὴ τὰ μὲν ἄλλα φωνήεντα ἐκφωνούμενα μηκύνει τὰ χείλη ὡς ἐπὶ ῥῖνα καὶ τὸν πώγωνα, τὸ δὲ η ἐκφωνούμενον μηκύνει μὲν 〈ὡς ἐπὶ τὰ ὦτα ἑκατέρωθεν τὸ〉 στόμα, τὸ δὲ ω ἐκφωνούμενον μηκύνει τὴν ἐπιφάνειαν τῶν φωνητικῶν ὀργάνων ὑπὲρ τὰ ἄλλα φωνήεντα. 〈Heliodori.〉 — Τῶν δὲ φωνηέντων μακρὰ μέν ἐστι δύ ο , η καὶ ω .] Διελὼν τὰ κδʹ γράμματα εἰς φωνήεντα καὶ εἰς σύμφωνα, ἑκάστου ἐπιδιαίρεσιν ἐπιφέρει. Καὶ πρώτη μὲν ἐπιδιαίρεσις τῶν φωνηέντων αὕτη ἐστὶν ἡ περὶ δύναμιν· λέγει γὰρ τὰ μὲν εἶναι αὐτῶν μακρά, τὰ δὲ βραχέα, τὰ δὲ δίχρονα. Ἐπιδιαίρεσις δέ ἐστιν, ὅταν τῶν ἤδη μερισθέντων διαίρεσιν δευτέραν ποιησώμεθα· καὶ λέγει τῶν φωνηέντων τὴν 〈ἐπι〉 διαίρεσιν τέμνεσθαι εἰς τρία. Φασὶ 〈δέ〉 τινες, ὅτι τὰ μέν ἐστι μακρὰ τῇ δυνάμει τῆς φωνῆς, τὰ δὲ βραχέα, τὰ δὲ δίχρονα· καὶ μακρὰ μέν, ὡς παρὰ τοῖς παλαιοῖς ἐν διπλασίονι χρόνῳ τῶν βραχέων ἐκφωνούμενα. Καὶ λέγομεν ὅτι τοῦτο φανερὸν ἐγένετο τοῖς μουσικοῖς ἀπὸ τῶν ἐν τῇ μουσικῇ ἁρμονιῶν, καὶ ἔστι ταῦτα εἰρημένα κατὰ μουσικὸν λόγον· ἐκεῖνοι γὰρ κατέμαθον ἀπὸ τῆς μουσικῆς ἁρμονίας, ὅτι γεγωνότερον μὲν τὰ μακρά, ἀσθενέστερον δὲ τὰ βραχέα ἐκφωνεῖται· ὅθεν καὶ ἐν τοῖς μέτροις τὰς μὲν μακρὰς ποιοῦμεν συλλαβάς, τὰς δὲ βραχείας. Ἢ ὅτι ἐκ δύο φωνηέντων συνίστανται καὶ εἰς αὐτὰ ἀναλύονται. Ζητησάντων δέ τινων etc. = Σ d 36, 28—37, 3. Εἰς τὸ αὐτ ό. —Μακρὰ εἶπε etc. = Σ v 198, 27—199, 5. Διομήδου ς. —Μακρὰ λέγεται etc. = Σ d 36, 25 seq.; 37, 3—7. Ἡλιοδώρο υ. —Μακρὰ λέγεται τὸ η καὶ τὸ ω οὐ τῷ τύπῳ τοῦ σχήματος καὶ τοῦ χαρακτῆρος, ἀλλὰ τῇ δυνάμει τῆς φωνῆς· ἐκ δύο γὰρ φωνηέντων συνίσταται καὶ εἰς δύο ἀναλύεται, οἷον τὸ φάος φῶς λέγομεν καὶ τὸ φῶς πάλιν εἰς φάος ἀναλύομεν· ὁμοίως τὸ δῆλον δέελον λέγομεν καὶ τὸ βέλεα βέλη· τὰ δὲ βραχέα οὔτε ἐκ δύο συνίσταται οὔτε εἰς δύο ἀναλύεται. Πόσα βραχέα; Δύο, ε καὶ ο . Καὶ ποῖόν ἐστι βραχύτερον; Τὸ ο , διότι τὸ ε προσλαμβάνον τὸ ι καὶ γινόμενον ει δίφθογγον καὶ ἐπὶ τέλους κείμενον οὐ παρέχει τρίτην ἀπὸ τέλους διδόναι τὴν ὀξεῖαν, οἷον ἀναγινώσκει ῥητορεύει καὶ τὰ τούτοις ὅμοια· τὸ δὲ ο προσλαμβάνον τὸ ι καὶ γινόμενον οι δίφθογγον καὶ ἐπὶ τέλους κείμενον οὐ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κωλύει τρίτην ἀπὸ τέλους διδόναι τὴν ὀξεῖαν, οἷον ἄνθρωποι φιλάνθρωποι φιλόσοφοι καὶ τὰ τούτοις ὅμοια.

328 Ἕτερος δὲ κανὼν λέγει, ὅτι πᾶσα συλλαβὴ πλεονάζουσα βραχυτέρα θέλει εἶναι τῆς μὴ πλεοναζούσης. Καὶ ἄλλως· πᾶσα κλητικὴ τὸν ἴσον χρόνον θέλει ἔχειν τῆς ἰδίας εὐθείας ἢ ἐλάττονα, οὐδέποτε δὲ μέζονα· καὶ ἡνίκα τραπῇ φωνῆεν τῆς εὐθείας ἐπὶ τῆς κλητικῆς, εἰς βραχύ〈τερον τρέπεται〉. ἐπεὶ γοῦν καὶ τὸ ο τῆς εὐθείας ἐπὶ τῆς κλητικῆς εἰς ε τρέπεται, ὡς τὸ 〈ὁ πλόοσ〉 ὦ πλόε, βραχύτερόν ἐστι τὸ ε τοῦο · οὐ γὰρ ἂν εἰς ε ἐτρέπετο, εἰ μὴ ἦν βραχύτερον. Βραχέα δύ ο, ε καὶ ο .] Δῆλον ὡς οἱ π. etc. = Σ d 37, 8—38, 14. Πόσα δίχρονα; Τρία, α ι υ . Διὰ τί λέγονται δίχρονα; Διότι ποτὲ μὲν ἐκτείνονται, ποτὲ δὲ συστέλλονται. Πότε ἐκτείνονται καὶ πότε συστέλλονται; Ὅτε μὲν ἐκτείνονται, ἀνὰ δύο βραχεῖς ἔχουσι χρόνους, ὅτε δὲ συστέλλονται, ἀνὰ ἕνα βραχὺν χρόνον. —Καὶ διὰ τί δίχρονα καλοῦνται, καὶ οὐχὶ τρίχρονα; Διότι καὶ γενικοὶ δύο χρόνοι εἰσί, μακρὸς καὶ βραχύς, καὶ πρὸς τὴν σχέσιν τῶν δύο χρόνων ἐκλήθησαν δίχρονα. —Τί διαφέρει μακρὸν ἐκτεινομένου καὶ βραχὺ συστελλομένου; Διαφέρει ἐπειδὴ ἄλλο ἐστὶ λευκὸν καὶ ἄλλο λευκαινόμενον· καὶ λευκὸν μέν ἐστι τὸ ὂν φύσει λευκόν, λευκαινόμενον δὲ τὸ μὴ ὂν φύσε λευκόν. Καὶ ἄλλως· ἐπειδὴ ἄλλο μέν ἐστι μακρὸν καὶ ἄλλο ἐκτεινόμενον, καὶ ἄλλο ἐστὶ 〈βραχὺ〉 καὶ ἄλλο βραχυνόμενον ἤτοι συστελλόμενον· καὶ μακρὸν μέν ἐστι τὸ ὂν φύσει μακρόν, οἷον ἥρως, ἐκτεινόμενον δὲ τὸ μὴ ὂν φύσει μακρόν, οἷον ἁγνός· 〈βραχὺ δέ ἐστι τὸ ὂν φύσει βραχύ, οἷον βρέφος, συστελλόμενον δὲ τὸ μὴ ὂν φύσει βραχύ, οἷον οὔ τί μοι αἰτίη ἐσσ ί.〉 Δίχρονα τρί α , α ι υ .] Τὰ δίχρονα δύναμιν ἔχει δεκτικὴν ἀμφοῖν τοῖν χρόνοιν. Καί φασιν οἱ λογομαχοῦντες, εἰ ποτὲ μὲν μακρὰν δηλοῦσιν, ἥτις ἐστὶ δίχρονος, ποτὲ δὲ βραχεῖαν, ἥτις ἐστὶ μονόχρονος, διὰ τί μὴ τρίχρονα καλοῦνται; Πρὸς οὓς λέγομεν, ὅτι οὐχὶ ὁμοῦ ἐπιδέχονται τοὺς τρεῖς χρόνους, ἐπεὶ ἔμελλον τοῦ η καὶ τοῦ ω μακρότερα εἶναι. Ἡλιοδώρου εἰς τὸ αὐτό. —Τὰ δίχρονα δύναμιν ἔχει δεκτικὴν ἀμφοῖν τοῖν χρόνοιν. Φασὶ δέ 〈τινεσ〉, εἰ ποτὲ μὲν μακρὰν δηλοῦσιν, ἥτις ἐστὶ δίχρονος, ποτὲ δὲ βραχεῖαν, ἥτις ἐστὶ μονόχρονος, διὰ τί μὴ λέγεται τρίχρονα; Πρὸς οὓς λέγομεν, ὅτι γενικοὶ χρόνοι καλοῦνται ὅ τε μακρὸς καὶ ὁ βραχύς, οἵτινες τέμνονται εἰς εἰδικοὺς χρόνους· καὶ ὁ μὲν γενικὸς μακρὸς χρόνος δύο χρόνους ἔχει, ὁ δὲ γενικὸς βραχὺς χρόνος ἕνα χρόνον ἔχει· πρὸς τὴν σχέσιν οὖν τῶν δύο γενικῶν χρόνων δίχρονα ταῦτα καλεῖται. Οἵ γε μὴν ῥυθμικοὶ δίσημα αὐτὰ καλοῦσι, σημεῖον λέγοντες τὸν χρόνον· ἔνιοι δὲ ὑγρὰ ὀνομάζουσιν αὐτά, παρ' ὅσον τὰ ὑγρὰ πέφυκεν ἐκτείνεσθαί τε εἰς πολὺ καὶ εἰς ὀλίγον συστέλλεσθαι, ἢ ὅτι εὐόλισθά εἰσι πρὸς ἀμφοτέρους χρόνους· ἄλλοι δὲ ἀμφίβολα, ὡς ἀμφιβαλλόμενα πότε μακρά ἐστι 〈καὶ〉 πότε βραχέα· τινὲς δὲ αὐτὰ κοινὰ προσαγορεύουσιν.

329 Ἀμφισβητοῦσι δὲ πάλιν τινὲς λέγοντες, «καὶ πῶς δυνατόν ἐστι τὸ αὐτὸ ἐκτείνεσθαι καὶ συστέλλεσθαι»; ἀγνοοῦντες ὅτι κατὰ μίμησιν τῶν κοσμικῶν στοιχείων καὶ ταῦτα εἰκονίζεται· ὁρᾶται γὰρ κἀκεῖνα ἐν ἑαυτοῖς ἔχοντα ἐναντιότητά τινα, ὥσπερ ὁ ἥλιος τὰ μὲν τῶν σωμάτων διαλύει, τὰ δὲ ἑνοῖ, ὁμοίως καὶ τὸ πῦρ τὰ μὲν ἐκτείνει, τὰ δὲ συστέλλει τῶν σωμάτων. Πρὸς οὕς φαμεν, εἰ τὰ κοσμικὰ στοιχεῖα φαίνεται ἐκτείνοντά τε καὶ συστέλλοντα οὐ μόνον ἕτερα ἀλλὰ καὶ ἴδια σώματα, τί ἄτοπον καὶ ταῦτα στοιχεῖα καλούμενα ποτὲ μὲν ἐκτείνειν, ποτὲ δὲ συστέλλειν τὰς συλλαβάς, ποτὲ δὲ καὶ αὐτὰ καθ' ἑαυτὰ κατὰ τὴν ἰδίαν φύσιν ἐκτείνεσθαί τε καὶ συστέλλεσθαι; Ἰστέον δὲ ὅτι ἐν μὲν τῷ περὶ στιγμῆς χρόνους εἰρήκαμεν σιωπῆς, ἐνταῦθα δὲ χρόνους λέγομεν ἐκφωνήσεως. Καί φαμεν ὅτι ἐκτεινόμενον 〈μὲν τὸ〉 δίχρονον δύο ἔχει χρόνους τοὺς τοῦ μακροῦ φωνήεντος, συστελλόμενον δὲ ἕνα τὸν τοῦ βραχέος φωνήεντος. Εἰς πόσα ἐπιδιαιροῦνται τὰ ἑπτὰ φωνήεντα; Εἰς δύο, εἰς ἀμετάβολα καὶ μεταβολικά. Πόσα ἀμετάβολα; Τέσσαρα, η ι υ ω . Διὰ τί λέγονται ἀμετάβολα; Διότι οὐ μεταβάλλονται ἐν τοῖς παρῳχημένοις ἤτοι ταῖς κλίσεσι τῶν ῥημάτων, οἷον ἡβῶ ἥβων, ἰξεύω ἴξευον, ὑδρεύω ὕδρευον,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὠθῶ ὤθουν. Πόσα μεταβολικά; Τρία, α ε ο . Διὰ τί λέγονται μεταβολικά, Διότι μεταβάλλονται ἐν τοῖς παρῳχημένοις, τὸ μὲν α εἰς η , οἷον ἀγαπῶ ἠγάπων, ἀρύω (τὸ ἀντλῶ) ἤρυον, τὸ δὲ ο εἰς ω , οἷον ὀμνύω ὤμνυον· τὸ δὲ ε ποτὲ μὲν εἰς η τρέπεται, οἷον ἐλέγχω ἤλεγχον, ἐσθίω ἤσθιον, ποτὲ δὲ καὶ τὸ ι προσλαμβάνει καὶ πάντοτε μὲν εἰς η τρέπεται πλὴν τῶν δεκαπέντε, τοῦ ἔχω εἶχον, ἔπω / ἕπω εἶπον / εἷπον (τὸ λέγω καὶ τὸ ἀκολουθῶ), ἕλω εἷλον (τὸ λαμβάνω καὶ τὸ φονεύω, ὅθεν καὶ τὸ εἱλόμην τὸ προέκρινα, ἱλώμην δὲ ἀντὶ τοῦ ἐλιτάνευον, ι καὶ 〈 ω 〉 μέγα, ἠλώμην δὲ ἀντὶ τοῦ ἐπλανώμην, η καὶ 〈 ω 〉 μέγα), ἕλκω εἷλκον (τὸ σύρω, ἑλκῶ δὲ ἥλκουν τὸ ἐπὶ ἕλκους διὰ τοῦ η , ἐξ οὗ καὶ τὸ ἡλκωμένος), ἐρῶ εἴρουν (τὸ λέγω, εἴρω, τὸ πλέκω, εἶρον, ἐξ οὗ καὶ τὸ συνεῖρον καὶ εἱρμός, ἡ ἀκολουθία, καὶ εἱρκτή, ἡ φυλακή), ἕρπω (τὸ βαδίζω) εἷρπον, ἐῶ (τὸ συγχωρῶ) εἴων, ἕω (τὸ ἐνδύομαι καὶ τὸ καθέζομαι) εἷον, ἔθω (τὸ ἐξ ἔθους τι διαπράττομαι) εἶθον, ἀφ’ οὗ καὶ ὁ μέσος παρακείμενος εἶθα καὶ παρενθέσει τοῦ ω εἴωθα, καὶ ὁ ὑπερσυντέλικος εἰώθειν· ταῦτα μέν εἰσι δισύλλαβα· τὰ δὲ ὑπὲρ δύο συλλαβὰς ταῦτα· ἑλκύω εἵλκυον, ἐρύω (τὸ αὐτὸ) εἴρυον, ἤρυον δὲ ἀντὶ τοῦ ἤντλουν η , ἑρπύζω εἵρπυζον, ἐθίζω εἴθιζον, ἑστιῶ (τὸ εὐωχῶ) εἱστίων καὶ ἐργάζομαι εἰργαζόμην. 〈Heliodori.〉 —Ἰδοὺ αὕτη δευτέρα 〈ἐπι〉 διαίρεσις τῶν φωνηέντων, ἥτις ἐστὶ περὶ δύναμιν, καταγινομένη περὶ τὸ αὐτὸ παρεπόμενον. Λέγομεν γὰρ πάλιν τῶν φωνηέντων τὰ μὲν ἀμετάβολα, τὰ δὲ μεταβολικά· καὶ ἀμετάβολα μὲν τέσσαρα, η ι υ ω , μεταβολικὰ δὲ τρία, α ε ο .

330 Ἔχουσι δὲ πάλιν ταῦτα καὶ ὑποδιαίρεσιν περὶ τὸ αὐτὸ παρεπόμενον, ὡς ὅταν λέγωμεν, ὅτι τὸ η μακρότερόν ἐστι τοῦω · τὸ δ’ ὅθεν δῆλον· ὁμοίως ὅταν λέγωμεν, ὅτι τὸ ε βραχύτερόν ἐστι τοῦ ο . Εἰς πόσα ὑποδιαιροῦνται τὰ ἑπτὰ φωνήεντα; Εἰς δύο, εἰς προτακτικὰ καὶ ὑποτακτικά. Πόσα προτακτικὰ φωνήεντα; Πέντε, α ε η ο καὶ ω . Διὰ τί λέγονται προτακτικὰ φωνήεντα; Διότι προτασσόμενα τοῦ ι καὶ τοῦ υ συλλαβὴν ἀποτελοῦσιν 〈ἤγουν〉 δίφθογγον. Τί ἐστι δίφθογγος; Δύο φωνηέντων μῖξις. Πόθεν δίφθογγος; Ἀπὸ τοῦ δύο φθόγγους ἔχειν, οἱονεὶ δυόφθογγος, καὶ ἐκθλίψει τοῦ ο καὶ τροπῇ τοῦ υ εἰς ι δίφθογγος. Πόσαι δίφθογγοι; Εὔφωνοι μὲν καὶ ὁμαλαὶ ἕξ, αι αυ ει ευ οι ου , δυσχερεῖς δὲ καὶ τραχεῖαι πέντε, ῃ ηυ ῳ ωυ υι . Διὰ τί λέγονται δίφθογγοι; Διότι ἐκ δύο φθόγγων ἤτοι φωνηέντων σύγκεινται. —Πόσα ὑποτακτικὰ φωνήεντα; Δύο, ι καὶ [τὸ] υ · καὶ τὸ υ δὲ ἐνίοτε προτακτικόν ἐστι τοῦ ι , ὡς ἐν τῷ μυῖα [καὶ] ἅρπυια υἱός καὶ ἐν τοῖς ὁμοίοις· ἡ γὰρ υι δίφθογγός ἐστι, καὶ οὔκ ἐστι διάστασις. τοῦ υ καὶ τοῦ ι . —Πόσαι διαιρέσεις; Τρεῖς, διαίρεσις, ἐπιδιαίρεσις καὶ ὑποδιαίρεσις. Πόσαι τρόποι διαιρέσεως; Τρεῖς· τοῦ γένους εἰς τὰ εἴδη, τοῦ ὅλου εἰς τὰ μέρη καὶ τῆς ὁμωνύμου φωνῆς εἰς τὰ διάφορα σημαινόμενα. —Τί ἐστι διαίρεσις; Ἡ πρώτη τομὴ τοῦ πράγματος, οἷον τὸ ζῷον διαιρεῖται εἰς δύο, εἴς τε λογικὸν καὶ ἄλογον· ὁμοίως καὶ τὰ φωνήεντα διαιροῦνται κατὰ πρώτην διαίρεσιν εἰς τρία, εἰς μακρά, εἰς βραχέα καὶ εἰς δίχρονα. —Τί ἐστιν ἐπιδιαίρεσις; Ἡ δευτέρα τομὴ τοῦ διαιρεθέντος αὐτοῦ πράγματος, οἷον τὸ ζῷον ἐπιδιαιρεῖται εἰς ἄπουν, δίπουν, τετράπουν· ὁμοίως καὶ τὰ φωνήεντα ἐπιδιαιρεῖται εἰς δύο, εἰς ἀμετάβολα καὶ μεταβολικά. —Τί ἐστιν ὑποδιαίρεσις; Ἡ τοῦ ἑνὸς σκέλους τῶν τμημάτων τομή, οἷον τὸ λογικὸν διαιρεῖται εἴς τε θνητὸν καὶ ἀθάνατον· ὁμοίως καὶ τὰ φωνήεντα ὑποδιαιροῦνται εἰς δύο, εἰς προτακτικὰ καὶ ὑποτακτικά. Οὐκ ἐπὶ πάντων δὲ λέγεται διαίρεσις, ἐπιδιαίρεσις καὶ ὑποδιαίρεσις, ἀλλ’ ὅτε μὴ πάντα περιέχεται ὑπὸ τὴν πρώτην διαίρεσιν, οἷον τοῦ ζῴου διαιρουμένου εἰς λογικὸν καὶ ἄλογον, καὶ ἐν τοῖς λογικοῖς καὶ ἐν τοῖς ἀλόγοις θεωρεῖται τὸ δίπουν· ἀναγκαίως οὖν ἐπιδιαιροῦμεν, ἤτοι δευτέραν διαίρεσιν τοῦ αὐτοῦ πράγματος ποιούμεθα, ἤγουν τοῦ ζῴου, καί φαμεν τὸ ζῷον διαιρεῖται εἰς ἄπουν, δίπουν καὶ τετράπουν, ἄπουν μὲν οἷον ἰχθύς, δίπουν δὲ οἷον ἄνθρωπος καὶ ὄρνεον, τετράπουν δὲ οἷον βοῦς, ἵππος, κύων καὶ τὰ τούτοις ὅμοια. — Ἡ φωνὴ ἐκ τῶν στοιχείων ἐγένετο ἢ τὰ στοιχεῖα ἐκ τῆς φωνῆς; Τὰ στοιχεῖα ἐκ τῆς φωνῆς. Πόθεν δῆλον; Ὅτι οὐδὲν ἂν τῶν κτηνῶν προσηγορίαν ἐδέξατο οὐδὲ αὐτὰ τὰ στοιχεῖα, εἰ μὴ ἡ φωνὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἦν προτέρα τῶν στοιχείων· καὶ ὅτι ὁ Ἀδὰμ μήπω στοιχείων ὄντων ἔσχε φωνήν, ἀφ' ἧς καὶ τὰ ζῷα προσηγόρευσεν, ἃ οὐκ ἄν ποτε τὴν ἰδίαν προσηγορίαν ἐπλούτησαν, εἰ μὴ φωνητικὸς πρὸ αὐτῶν ἦν ὁ ἄνθρωπος. 〈Heliodori.〉 — Προτακτικὰ φωνήεντα πέντ ε , α ε η ο ω .] Αὕτη ἡ πρώτη ὑποδιαίρεσις· ὑποδιαίρεσις δέ ἐστιν, ὅτε ἅπαξ καὶ δεύτερον μερισθὲν εἰς τρίτην ἔλθῃ μερίδα. Ὑποδιαιρεῖται δὲ εἰς δύο, εἰς προτακτικὰ καὶ ὑποτακτικά· φησὶ δὲ προτακτικὰ ταῦτα λέγεσθαι, διότι προτάττονται τοῦ ι καὶ τοῦ υ καὶ ἀποτελοῦσι συλλαβήν. Ποίαν συλλαβήν; Λέγω δὴ τὴν [ ει ] δίφθογγον. «Προτακτικά» εἰπὼν οὐ διέστειλεν etc.

331 = Σ v 200, 5—17. 〈Heliodori.〉 — Καὶ τὸ υ δὲ ἐνίοτε προτακτικόν ἐστι τοῦ ι , ὡς ἐν τῷ μυῖα καὶ ἅρπυι α.] Αὕτη ἐπιδιαίρεσίς ἐστι· τομὴ γὰρ τῶν ἤδη τετμημένων ἐστὶ περὶ τὸ αὐτὸ παρεπόμενον, τὸ περὶ θέσιν· λέγομεν γάρ, τῶν ὑποτακτικῶν τὸ υ πάλιν προτακτικόν ἐστι τοῦ ι , ὥστε τῶν δύο τὸ μὲν εἶναι τούτου προτακτικόν, τὸ δὲ τούτου ὑποτακτικόν. Διομήδου ς. —Εἰ δέ τις εἴποι, «πῶς δύναται τὸ αὐτὸ στοιχεῖον κατὰ σύλληψιν καὶ προτακτικὸν εἶναι καὶ ὑποτακτικόν»; εἴπωμεν, «καὶ πῶς ἐν τοῖς συμφώνοις τὸ ς καὶ προτακτικόν ἐστι καὶ ὑποτακτικόν; προτακτικὸν μέν, ὡς ἐν τῷ σθένος, ὑποτακτικὸν δέ, ὡς ἐν τῷ ἅλς»; Εἶπεν δὲ τὸ «ἐνίοτε» etc. = Σ d 39, 1—23. Δίφθογγοι δέ εἰσιν ἕ ξ, αι αυ ει ευ οι ου . Ἡλιοδώρο υ . —Μετὰ δὲ τὰς διαιρέσεις τε καὶ ἐπιδιαιρέσεις καὶ ὑποδιαιρέσεις τῶν φωνηέντων παρέπεται αὐτοῖς τοῖς φωνήεσιν ἐπιπλέκεσθαι ἀλλήλοις καὶ τὰς διφθόγγους ἀποτελεῖν, ὡς τοῖς συμφώνοις μετὰ τῶν φωνηέντων τὰς συλλαβάς. Γίνονται δὲ πᾶσαι αἱ δίφθογγοι ἕνδεκα, δυσχερεῖς μὲν καὶ τραχεῖαι πέντε, ῃ ηυ ῳ ωυ υι , αἳ δέονται ἀκριβείας τῆς ἐξ ἀναλογίας, ὁμαλαὶ δὲ καὶ εὐμαρεῖς ἕξ, αι αυ ει ευ οι ου . Ὑπομένουσι δὲ αὐτῶν πολλαὶ καὶ τὰς καλουμένας διαιρέσεις, οἷον παῖς πάϊς, θειώσω θεϊώσω 〈χ 482〉 . Ἀττικοὶ δὲ πολλάκις αὐτῶν τὸ δεύτερον ὑφαιροῦνται τῶν φωνηέντων, τὸ κλαίειν κλάειν καὶ τὸ ποιεῖν ποεῖν καὶ τὸ τετοκυῖα τετοκῦα λέγοντες. Εἰσὶ δὲ αὐτῶν αἱ μὲν κατὰ κρᾶσιν, ὡς ἡ οι καὶ ου καὶ αυ καὶ ευ , αἱ δὲ κατ' ἐπικράτειαν, ὡς ἡ ει καὶ ῃ καὶ ῳ καὶ αι , αἱ δὲ κατὰ διέξοδον, ὡς ἡ ηυ καὶ ωυ · καὶ ἡ μὲν αι κατ' ἐπικράτειαν καὶ κατὰ κρᾶσιν· καὶ κατ' ἐπικράτειαν μέν, ὡς ἐν τῷ ᾄδω, κατὰ κρᾶσιν δέ, ὡς ἐν τῷ Αἴας. Καὶ ὅσαι μὲν αὐτῶν ἐκ δύο βραχέων συνετέθησαν φωνηέντων, εὔηχοι καὶ λεῖαί εἰσιν, ὅσαι δὲ ἐκ μακρῶν καὶ βραχέων, τραχεῖαι καὶ δυσχερεῖς. Ἄλογοι δὲ λέγονται ἤτοι παράλογοι ἡ αι καὶ ἡ οι , ὡς μὴ ἔχουσαι δοῦναι λόγον συστολῆς. Εἰ δέ τις εἴποι, διὰ τί μὴ καὶ τὰς συλλαβὰς ἐκ δύο συνεστώσας, ἔκ τε φωνήεντος καὶ συμφώνου, δίφθογγα λέγομεν, ἴστω ὅτι 〈ἔχει τὴν διὰ τοῦ δι σύνθεσιν μόνα〉 ὅσα διαιρεθέντα δύναται ποιῆσαι δύο ὅμοια· 〈οἷον〉 ὥσπερ ὁ Παρνασὸς δικόρυφος καλεῖται, ἐπεὶ ὁρᾶται δύο κορυφὰς ἔχων, οὕτω καὶ αὗται δίφθογγοι, ἐπειδὴ φαίνονται δύο φθόγγους ἔχουσαι· τὰ δὲ σύμφωνα ἴδιον φθόγγον οὐκ ἔχουσιν ὡς τὰ φωνήεντα, ἵνα τὰς συλλαβὰς δίφθογγα εἴπωμεν. Διφθόγγους αὐτὰς εἶπεν, ἐπειδὴ ἐκ δύο φθόγγων συνίστανται· φθόγγους δὲ ἐκάλεσε κατὰ μουσικὸν λόγον τὰ γράμματα.

332 Λείπεται γοῦν τὸ «εὔφωνοι» etc. = Σ d 39, 24—40, 5. Ζητεῖται δέ, εἰ προτακτικὰ μὲν πέντε, ὑποτακτικὰ δὲ δύο, καὶ ἕκαστον τῶν πέντε ἑκατέρου τῶν δύο προταττόμενον διφθόγγους ποιεῖ δέκα, καὶ πάλιν τὸ υ τοῦ ι προταττόμενον δίφθογγον ἀποτελεῖ, συμβήσεται διφθόγγους εἶναι ἕνδεκα, καὶ διὰ τί ἓξ διφθόγγους αὐτὰς εἶπεν εἶναι. Καὶ λεκτέον, ὅτι ἐπειδὴ σκοπὸς ἦν αὐτῷ, ὡς πολλάκις εἴρηται, πρὸς εἰσαγομένους γράφειν, διὰ τοῦτο ἃς μὲν ᾔδει διφθόγγους ὁ τεχνικὸς δυσχερεῖς καὶ ἀναλογίας τῆς ἐξ ἀκριβείας δεομένας, ταύτας παρέλειψεν, ἃς δὲ ᾔδει ξυνήθεις καὶ καθημαξευμένας, περὶ ταύτας κατεγένετο· καὶ ἁπλούστερον εἶπεν ἕξ, εἰδὼς ὅτι δυσχερὴς ἦν ἡ τῶν ἄλλων πέντε παράδοσις. —Διὰ τί γοῦν αἱ συλλαβαὶ μὴ 〈λέγονται〉 δίφθογγοι, καὶ αἱ δίφθογγοι τί μὴ συλλαβαί; Φαμὲν οὖν, ὅτι ἡ συλλαβὴ οὐκ ἐκ δύο φθόγγων συνέστηκεν· οὐ γὰρ τὸ σύμφωνον δίχα φωνήεντος φθόγγον ἔχει· ὅθεν καὶ συλλαβή, ὅτι βούλεται πάντως σύλληψις εἶναι, οὐδέποτε δὲ διάστασις· ἡ δὲ δίφθογγος ἐκ δύο ἰδίᾳ ῥητῶν συνίσταται καὶ διαίρεσιν εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὰ ἔχει. Δίφθογγοι δέ εἰσιν ἕ ξ.] Λείπει τὸ «εὔφωνοι»· ἕνδεκα γάρ εἰσιν, ὧν αἱ μὲν ἓξ εὔφωνοί εἰσιν, ἃς καὶ αὐτός φησιν, αἱ δὲ τρεῖς κακόφωνοι, ἡ ηυ , ἡ ωυ , ἡ υι , αἱ δὲ τρεῖς ἄφωνοι, ἡ ῳ , ἡ ῃ , ἡ ᾳ μετὰ τοῦ μακροῦ α καὶ ἀνεκφωνήτου ι (cfr Σ d 39, 24—40, 5). Τὴν τρίτην ὑποδιαίρεσιν τῶν φων. etc. = Σ d 40, 6—41, 15. Τί ἐστι σύμφωνον; Φωνὴ ἄσημος, ἥτις συμπλεκομένη μετὰ φωνηέντων φωνὴν ἐγγράμματον ἀποτελεῖ. Πόθεν σύμφωνον; Ἀπὸ τοῦ συμφωνεῖν ἤγουν σὺν ἑτέροις φωνὴν ἔχειν. Πόσα σύμφωνα; Ἑπτακαίδεκα, β γ δ ζ θ κ λ μ ν ξ π ρ ς τ φ χ ψ . Διὰ τί λέγονται σύμφωνα; Ὅτι αὐτὰ μὲν καθ’ ἑαυτὰ φωνὴν οὐκ ἔχει, συμπλεκόμενα δὲ μετὰ τῶν φωνηέντων φωνὴν ἀποτελοῦσιν. 〈Heliodori.〉 —Τίνος μὲν ἕνεκεν εἴρηται σύμφωνα, αὐτὸς ἐπιφέρει, ὅτι αὐτὰ μὲν καθ’ ἑαυτὰ φωνὴν οὐκ ἔχει. Λείπει τὸ «τελείαν»· τελείαν γὰρ φωνὴν οὐκ ἔχει, ἐπεὶ μικρὰν ἔχει. Ὁριστέον οὖν οὕτω ταῦτα· «σύμφωνά ἐστιν ὅσα μετὰ φωνήεντος ἢ φωνηέντων συμπλεκόμενα φωνὴν ἐγγράμματον ἀποτελεῖ»· οὗτός ἐστιν ὅρος· ὁ δὲ τοῦ Διονυσίου εἰς ἐτυμολογίαν μᾶλλον μεταπίπτει. Ἄλλως εἰς τὸ αὐτ ό. —Τίνος δὲ ἕνεκεν etc. = Σ d 41, 17—26. Εἰς πόσα διαιροῦνται τὰ δεκαεπτὰ σύμφωνα; Εἰς δύο, εἰς ἡμίφωνα καὶ ἄφωνα. Πόσα ἡμίφωνα; Ὀκτώ, ζ ξ ψ λ μ ν ρ ς . Διὰ τί λέγονται ἡμίφωνα; Διότι παρ’ ὅσον ἧττω τῶν φωνηέντων εὔφωνα καθέστηκεν ἔν τε τοῖς μυγμοῖς καὶ σιγμοῖς.

333 Τί ἐστι παρ’ ὅσον ἧττω; Τουτέστιν ὅσον ἐλάττονά εἰσι τῶν φωνηέντων τῶν τελείαν ἐχόντων φωνήν, τόσον εὐφωνότερά εἰσι τῶν καλουμένων ἀφώνων. —Τί ἐστι μυγμός; Ὁ τοῦ μῦ ἦχος. Τί ἐστι νυγμός; Ὁ τοῦ νῦ ἦχος. Τί ἐστι σιγμός; Ἡ τῆς φωνῆς ἀρχή, ἤγουν ἡ μήπω τελειωθεῖσα φωνή· ἐν γὰρ τῷ θέλειν ἐκφωνεῖν τὰ ἡμίφωνα ἄνευ τῶν φωνηέντων οὐ δυνάμεθα τελείαν ἀφιέναι φωνήν, ἀλλὰ τὸ ἥμισυ τῆς φωνῆς· καὶ σιγμὸς λέγεται ἡ τῶν διπλῶν, τοῦ ζ ξ ψ , συριγμὸς δὲ ἡ τοῦ σίγματος, ῥοῖζος δὲ ὁ τοῦ ρ ἦχος· τὸ δὲ λ οὐδὲν τούτων ἔχει ὡς λεῖον. Εἰς πόσα διαιροῦνται τὰ ὀκτὼ ἡμίφωνα; Εἰς τρία· εἰς διπλᾶ, εἰς ἀμετάβολα καὶ εἰς ς ἄσημον. —Πόσα διπλᾶ; Τρία, ζ ξ ψ . Διὰ τί λέγονται διπλᾶ; Διότι ἓν ἕκαστον αὐτῶν ἐκ δύο συμφώνων σύγκειται, τὸ μὲν ζ ἐκ τοῦ ς καὶ δ , οἷον σδυγός ζυγός, τὸ δὲ ξ ἐκ τοῦ κ καὶ ς , οἷον κσένος ξένος, τὸ δὲ ψ ἐκ τοῦ π καὶ ς , 〈οἷον〉 πσαλμός ψαλμός. Καὶ λοιπὸν κινδυνεύει μὴ εἶναι ταῦτα στοιχεῖα· τὸ γὰρ στοιχεῖον ἁπλοῦν ἐστιν, ὡς καὶ ὁ ὁρισμὸς αὐτοῦ δείκνυσι· στοιχεῖον γάρ ἐστιν ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή, ταῦτα δὲ διπλᾶ καὶ ἐκ δύο συμφώνων· τὸ δὲ διπλοῦν πάντως καὶ μεριστόν ἐστι, καὶ οὐκ ἄρα ταῦτα στοιχεῖα, εἴπερ ἁπλοῦν καὶ ἀμερές ἐστι τὸ στοιχεῖον. Ἀλλ’ οὐκ ἐκ δύο συμφώνων ἁπλῶς ταῦτα, ὡς καὶ μερισθῆναι δυνάμενα, ἀλλ’ ὡς δύο συμφώνων δύναμιν ἔχοντα ταῦτα διπλᾶ λέγονται. Διὰ τί τὸ μὲν ξ καὶ ψ ληκτικά εἰσιν ὀνομάτων, τὸ δὲ ζ οὐκέτι; Ὅτι τὸ μὲν ς ληκτικόν ἐστιν ὀνομάτων, ὅπερ ἐστὶ δυνάμει κατὰ τὸ τέλος ἐν τῷ ξ καὶ τῷ ψ , τὸ δὲ ζ τελευταῖον ἔχει τὸ δ ἐν τῇ ἐκφωνήσει, ὅπερ οὐδέποτε ληκτικὸν εὑρέθη τινός, καὶ διὰ τοῦτο ἀδύνατον ληκτικὸν εἶναι ὀνομάτων τὸ ζ . Πόσα ἀμετάβολα; Τέσσαρα, λ μ ν ρ . Διὰ τί λέγονται ἀμετάβολα; Διότι οὐ μεταβάλλονται οὔτε ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων οὔτε ἐν τοῖς μέλλουσι τῶν ῥημάτων. Πῶς ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων; Οἷον Νέστωρ Νέστορος, Θέων Θέωνος, πέλωρ πέλωρος· τὸ δὲ ὕδωρ ὕδατος καὶ ἧπαρ ἥπατος ἑτερόπτωτά εἰσι καὶ οὐκ ἰδιόπτωτα. Πῶς ἐν τοῖς μέλλουσι τῶν ῥημάτων; Οἷον χαίρω χαρῶ, κρίνω κρινῶ, πάλλω παλῶ, νέμω νεμῶ, σπείρω σπερῶ· ἅτινα λέγονται καὶ ὑγρά, διότι εὐόλισθά εἰσι καὶ λανθάνειν ποιοῦσι τὴν ἀκοήν. Διὰ τί λανθάνειν ποιοῦσι τὴν ἀκοήν; Ὅτι ποτὲ μὲν παρὰ τῷ ποιητῇ ἀντὶ δύο συμφώνων κεῖνται, ποτὲ δὲ ἀνθ’ ἑνός· ὡς καὶ μετὰ ἄλλου συμφώνου προηγησαμένου ἐν ἐπιπλοκῇ ὄντα μὴ πάντως τὴν προηγησαμένην βραχεῖαν ποιεῖν μακράν, ὡς ἐπὶ τοῦ 〈Τ 287〉 Πάτροκλε καὶ τῶν ὁμοίων. Ἄσημον δέ ἐστι τὸς · λέγεται δὲ ἄσημον, ὅτι οὔτε μετὰ τῶν ἡμιφώνων ἐστὶν ἡμίφωνον, οὔτε μετὰ τῶν ἀφώνων ἄφωνον· τὸ γὰρ ξ καὶ διπλοῦν καλεῖται ὡς τὸ ψ καὶ τὸ ζ , καὶ τὸ λ ἀμετάβολον ὡς τἆλλα, τὸ δὲ ς μόνῳ τῷ ὀνόματι τούτῳ ἐξηχεῖται. [Διὰ τί λέγεται τὸ ς ἄσημον; Διότι 〈οὐ μετὰ τῶν〉 ἡμιφώνων ἐστὶν ἡμίφωνον καὶ οὐ μετὰ τῶν ἀφώνων ἄφωνον·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διότι σημασίαν οὐκ ἔχει ἤγουν ἑρμηνείαν.] Τούτων ἡμίφωνα μέν ἐστιν ὀκτ ώ.] Ἐπιδιαιρεῖ ἐνταῦθα τὰ σύμφωνα εἰς ἡμίφωνα ὀκτὼ καὶ ἄφωνα ἐννέα περὶ τὸ αὐτὸ παρεπόμενον τὸ κατὰ φωνήν· ὑποκατιὼν δὲ καὶ ὑποδιαιρέσεις δίδωσιν, ὅταν τὸ μέρος τῶν ἀφώνων περὶ τὸ αὐτὸ παρεπόμενον τὸ κατὰ φωνὴν ὑποδιελὼν εἴπῃ, ὅτι τῶν ἀφώνων ψιλά ἐστι τρία, καὶ δασέα τρία, καὶ μέσα τρία. Ἤρξατο 〈δὲ〉 λέγειν τὰς ἐπιδιαιρέσεις τῶν συμφώνων, καί φησι πρώτην ταύτην 〈εἰσ〉 ἡμίφωνα καὶ ἄφωνα.

334 Ἐπειδὴ γὰρ ἐπάνω εἰρήκαμεν, 〈ὅτι〉 ὅσας ἔχει διαιρέσεις τὰ φωνήεντα (τρεῖς δὲ ἔχει ἐκεῖνα, μακρὰ βραχέα δίχρονα, προτακτικὰ ὑποτακτικά, μεταβολικὰ ἀμετάβολα) τοσαύτας ἔχει καὶ ταῦτα—μακρά, ἅπερ ἐστὶ τὰ διπλᾶ, δίχρονα, ἅπερ ἐστὶ τὰ ἀμετάβολα, βραχέα, ἅπερ ἐστὶ τὰ λοιπὰ σύμφωνα· προτακτικὰ καὶ ὑποτακτικά· τὰ γὰρ προηγησάμενά τινων ἐν συλλήψει οὐκέτι εὕροις ὑποταχθέντα ἐν ἐπιπλοκῇ τούτοις· μεταβολικὰ ἀμετάβολα, ἀμετάβολα μὲν τὸ λ μ ν ρ , μεταβολικὰ δὲ τὰ λοιπά—διαιρεῖται [δὲ] τὰ σύμφωνα εἰς ἡμίφωνα καὶ ἄφωνα, καὶ οὐ τὰ φωνήεντα· οὐ γὰρ ἠδύναντο τὰ φωνήεντα οὕτω διαιρεῖσθαι εἰς ἡμίφωνα καὶ ἄφωνα, αὐτόθεν τελείαν φωνὴν ἔχοντα. Ἡμίφωνα δὲ λέγονται κατά τι, οὐ γὰρ ὡς ἔτυχε· σημαίνει γὰρ 〈τὸ ἡμι 〉 καὶ τὸ ἥμισυ τὸ ἐξ ἰσομοιρίας· σημαίνει καὶ τὸ παρ’ ὀλίγον, ὡς ἂν εἴποι τις, ὡς παρὰ εἴκοσι στίχους ἔχον ἡμιτελές ἐστι τὸ βιβλίον, ὥσπερ ἡμιτελῆ οἶκόν φαμεν, κἂν ᾖ παρὰ τὴν στέγην, καὶ ἡμίξηρον χόρτον, κἂν παρ’ ὀλίγον εἴη κατάξηρος, καὶ ἡμιτελὲς ἔργον τὸ λεῖπον ὀλίγον πρὸς συμπλήρωσιν· καὶ τὸ ἐγγύς, ὡς ἡμίθεος ὁ ἐγγὺς θεοῦ· οὕτως οὖν καὶ ἐνταῦθα ἡμίφωνα καλοῦμεν, εἰ καὶ πρὸς συμπλήρωσιν τῆς τελείας φωνῆς τῶν φωνηέντων ἐνδεῆ καθέστηκε ταῦτα, ὡς ἐγγὺς τῶν φωνηέντων ὄντα καὶ παρ’ ὀλίγον φωνὴν ἔχοντα, καὶ εὑρίσκεται τῶν πρός τι. 〈Heliodori.〉 —Οὐκ ἀγνοεῖν δὲ χρή, ὅτι πρός τι τὰ ἡμίφωνα λέγεται, ὡς πρὸς τὴν σχέσιν τῆς τελείας φθογγῆς τῶν φωνηέντων, τουτέστι παρ’ ὀλίγον φωνήεντα· καὶ εὑρίσκεται ἀσθενέστερα, πρὸς δὲ τὰ ἄφωνα φωνήεντα, ὡς καὶ αὐτὸς ὁ τεχνικὸς πείθει λέγων, ὅτι παρ’ ὀλίγον εὔφωνά ἐστιν ὡς τὰ φωνήεντα, ὅτι παρ’ ὀλίγον, φησί, [τῆς τελείας ἐκφωνήσεως] τῶν φωνηέντων καὶ ταῦτα σχεδὸν ἔχουσι τέλειον φθόγγον. Ἡμίφωνα δὲ λέγονται, ὡς ἥμισυ φωνῆς ἔχοντα· ὅθεν ἐπιφέρει καὶ αὐτός, ὅτι ὅσον ἐλάττονά ἐστι τῶν φωνηέντων ἐν τῇ ἐκφωνήσει τῶν τελείαν φωνὴν ἐχόντων, τοσοῦτον εὐφωνότερά ἐστι τῶν ἄλλων ἐννέα στοιχείων τῶν καλουμένων ἀφώνων· [ἐπιδιαίρεσιν ἐνταῦθα ποιεῖται ὁ τεχνικός· καὶ εἴρηται ἐπιδιαίρεσις, καθὸ μέρος τῶν τετμημένων ἐστίν·] ὥσπερ δὲ ἡμιτελῆ οἶκόν φαμεν, κἂν ᾖ παρὰ τὴν στέγην, οὕτω καὶ ταῦτα ἡμίφωνα καλοῦμεν, εἰ καὶ πρὸς τὴν συμπλήρωσιν τῆς τελείας τῶν φωνηέντων φωνῆς ἐνδεῆ καθεστήκασι· παρ’ ὀλίγον γὰρ τελείαν τὴν ἐκφώνησιν ἔχουσι. Καὶ δῆλον ἐκ τοῦ συριγμόν τινα καὶ νυγμὸν καὶ ῥοῖζον καὶ ποιότητα φωνῆς ἔχειν αὐτά· καὶ συριγμὸν μὲν ἔχει τὸ ζ ξ ψ , μυγμὸν δὲ τὸ μ , νυγμὸν δὲ τὸ ν , ῥοῖζον δὲ τὸρ · τὸ δὲ λ οὐδὲν τούτων ἔχει, εὐφωνότερον δὲ τῶν ἀφώνων καθέστηκε· τὸ δὲ αὐτὸ καὶ λεῖόν ἐστιν ἐν τῇ ἐκφωνήσει, καθὸ ἡδύτερον μεμελέτηκε πλήττειν τὸν ἀέρα.

335 Εἰς τὸ αὐτ ό. —Ἡμίφωνα δὲ λέγεται, παρ’ ὅσον ἧττον τῶν φωνηέντων.] Ἰστέον τοίνυν 〈ὅτι ταῦ〉 τα εὐφωνότερα τῶν συμφώνων ὑποβεβηκέναι φησὶ τῆς τελείας ἐκφωνήσεως τῶν φωνηέντων· ἡμίφωνα γὰρ λέγεται, ὅτι ἥμισυ φωνῆς κατ’ ἀρχὴν ἐν συριγμοῖς καὶ νυγμοῖς ἀποτελεῖ [πρὸ] τῆς οἰκείας ὀνομασίας αὐτῶν. Μυγμοὶ μέν εἰσιν οἱ διὰ τῶν μυκτήρων ἦχοι etc. = Σ v 201, 14—21. Εἰς τὸ αὐτ ό . —Ἡμίφωνα δὲ λέγεται, παρ’ ὅσον ἧττον τῶν φωνηέντων.] Ἐκ τούτου δῆλον etc. = Σ d 42, 7—16. Πόσα ἄφωνα; Ἐννέα, β γ δ κ π τ θ φ χ . Διὰ τί λέγονται ἄφωνα; Διὰ τὰ σύμφωνα, καὶ διότι μᾶλλον τῶν ἄλλων εἰσὶ κακόφωνα, καὶ οὐχ ὡς τελείως φωνῆς ἐστερημένα, ἀλλ’ ὡς τελείαν ἀπήχησιν μὴ ἔχοντα, ὡς τὰ φωνήεντα, οὔτε ἡμιτελῆ, ὡς τὰ ἡμίφωνα· εἰ γὰρ τὸ β καὶ γ καὶ τὰ ἑξῆς μὴ ὅλως τὴν τυχοῦσαν εἶχε φωνὴν μετὰ τοῦ α ἢ μετὰ τῶν ἄλλων φωνηέντων συμπλεκόμενα, οὐκ ἂν ἐνήλλασσε τὴν ἐκείνων ἐκφώνησιν· ὥσπερ γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄφωνον τραγῳδὸν λέγομεν τὸν κακόφωνον, οὕτω καὶ τὰ ἄφωνα. Χρὴ δὲ γινώσκειν, ὅτι ὁ φιλόσοφος τὸ ἄφωνον ἀντὶ συμφώνου παραλαμβάνει πρὸς ἀντιδιαστολὴν τῶν φωνηέντων· φύσει γοῦν συμπλέκεται σύμφωνον φωνήεντι, οἷον βε , ἢ φωνήεσιν, οἷον βου , ἢ σύμφωνον συμφώνῳ, οἷον φθω · εἰ γὰρ μὴ οὕτως ἡγησόμεθα τὸν φιλόσοφον λέγειν, εὑρεθήσεται τῷ ὅρῳ τὰ φωνήεντα μαχόμενα. —Εἰς πόσα διαιροῦνται τὰ ἐννέα ἄφωνα; Εἰς τρία, εἰς ψιλά, εἰς δασέα καὶ εἰς μέσα. —Πόσα ψιλά; Τρία, κ π τ . Διὰ τί λέγεται ψιλά; Διότι ἀσθενέστερά εἰσι τῶν δασέων κατὰ τὴν ἐκφώνησιν καὶ γυμνὰ δυνάμεως. Πόθεν δῆλον; Ἐπειδὴ δασυνομένου φωνήεντος ἐπιφερομένου εἰς δασὺ τρέπονται, οἷον 〈ε 229〉 αὐτί χ ' ὁ μὲν χλαῖνάν τε χιτῶνά τε ἕννυ τ ' Ὀδυσσεύ ς. —Πόσα δασέα; Τρία, θ φ χ . Διὰ τί λέγονται δασέα; Διότι τῶν ψιλῶν εἰσιν ἰσχυρότερα. Πόθεν δῆλον; Ἐπειδὴ ψιλουμένου φωνήεντος ἐπιφερομένου οὐ τρέπονται, οἷον 〈Α 69. Ζ 76〉 οἰωνοπόλων ὅ χ ' ἄριστος, καὶ 〈Lycophr. Alex. 30〉 τοιῶν δ ' ἀ π ' ἀρχῆς ἦρ χ ' Ἀλεξάνδρα λόγων · χωρὶς εἰ μὴ κατὰ διάλεκτον, οἷον ἀμφέχεσθαι ἀμπέχεσθαι. — Καὶ ἄλλως· ἐπειδὴ δασυνομένου φωνήεντος ἐπιφερομένου εἰς δασὺ τρέπονται· λέγει γὰρ ὁ τεχνικός, «ἀντιστοιχεῖ τὰ δασέα τοῖς ψιλοῖς, τὸ μὲν π τῷ φ οὕτως· [οἷον] 〈ι 279〉 ἀλλά μοι εἴ φ ' ὅπη ἔσχες ἰὼν εὐεργέα νῆα · τὸ δὲ κ τῷ χ , οἷον 〈ε 229〉 αὐτί χ ' ὁ μὲν χλαῖνάν τε καὶ τὰ ἑξῆς· πολλάκις δὲ καὶ εἰς δύο δασέα, οἷον 〈Δ 243〉 τίφ θ ' οὕτως ἔστητ ε· τὸ δὲ θ τῷ τ οὕτως· 〈Γ 95〉 〈 ὣσ〉 ἔφα θ' , οἱ δ ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπ ῇ. —Διὰ τί «ἀντιστοιχεῖ τὰ δασέα τοῖς ψιλοῖς»; Ἵνα δείξῃ ὅτι οὐ μόνον δασέα ἀντὶ ψιλῶν παραλαμβάνεται, ἀλλὰ καὶ ψιλὰ ἀντὶ δασέων, ὡς τὸ πεφίληκα κεχειροτόνηκα πέφρακα. —Πόσα μέσα; Τρία, β γ δ . Διὰ τί λέγονται μέσα; Διότι τῶν μὲν ψιλῶν εἰσι δασύτερα, τῶν δὲ δασέων ψιλότερα. Καὶ ἔστι τὸ μὲν β μέσον τοῦ π καὶ φ , τὸ δὲ γ μέσον τοῦ κ καὶ χ , τὸ δὲ δ μέσον τοῦ θ καὶ τ . Πῶς; πλάτυνον. Ὅτι τὰ δασέα μετὰ τοῦ μὴ παρά τινος ἐκβάλλεσθαι ἐκβάλλουσιν, ὡς εἴρηται, τὰ ψιλά, ἐκβάλλονται δὲ τὰ ψιλὰ παρὰ τῶν δασέων, τὰ δὲ μέσα οὔτε ἐκβάλλουσιν οὔτε ἐκβάλλονται. 〈Heliodori.
336 〉 — Ἄφωνα ἐννέ α.] Τὸ α πολλὰ σημαίνει· τὴν παντελῆ στέρησιν, ὡς ἂν εἴποιμεν ἄποινα ἢ ἀφανής ἢ ἄφιλος ἢ ἄλλο τι τῶν τοιούτων· τὸ ὁμοῦ, οἷον ἄλοχος ἡ ὁμόλοχος· τὸ ὀπίσω, ὡς ἀκόλουθος ὁ ὀπίσω τὴν κέλευθον ποιούμενος, ὀπίσω γὰρ τὴν ὁδὸν ποιεῖται, ἑπόμενος τῷ δεσπότῃ· τὸ κακόν, οἷον ἄμορφος γυνή, οὐχ ὅτι παντελῶς ἐστέρηται μορφῆς, ἀλλ' ἔχουσα κακήν· τὸ πολύ, οἷον ἀχανές τὸ πολυχανές, ἄξυλος ὕλη ἡ πολύξυλος· τὸν πλεονασμόν, οἷον στάχυς ἄσταχυς, σταφίς ἀσταφίς· τὸ ἕν, οἷον Ἀπόλλων ὁ εἷς πέλων· τὸ ἴσον, οἷον ἀτάλαντος ὁ ἰσοτάλαντος· τὸ ὀλίγον, οἷον ἀδρανής ὁ ὀλιγοδύναμος· τὴν ἄθροισιν, οἷον ἅλυσις ἡ πολλοὺς κρίκους ἔχουσα, καὶ ἔστιν ὁμοῦ σημαινόμενα δέκα. Ἀπὸ γοῦν τοῦ α τοῦ σημαίνοντος τὸ κακὸν γίνονται καὶ τὰ ἄφωνα, ἤτοι δύσφωνα, ἤγουν κακόφωνα, καὶ οὐχ ὡς τελείως φωνῆς ἐστερημένα, ἀλλ' ὡς τελείαν ἀπήχησιν μὴ ἔχοντα, ὡς τὰ φωνήεντα, οὔτε ἡμιτελῆ, ὡς τὰ ἡμίφωνα, ἀλλ' ἔστι παντελῶς ἄηχα, τουτέστι κακόηχα· εἰ γὰρ τὸ β καὶ τὸ γ καὶ τὰ ἑξῆς μὴ ὅλως τὴν τυχοῦσαν εἶχε φωνὴν μετὰ τοῦ α ἢ μετὰ τῶν ἄλλων φωνηέντων συμπλεκόμενα, οὐκ ἂν ἐνήλλασσε τὴν ἐκείνων ἐκφώνησιν· ἐπεὶ δὲ ἐναλλάσσει, καὶ αὐτὰ δῆλον ὡς μετρίαν τινὰ συνήγαγον φωνὴν ἐν τῷ συλλαμβάνεσθαι. Τούτων ψιλά ἐστι τρί α.] Μετὰ τὴν διαίρεσίν τε καὶ ἐπιδιαίρεσιν πάλιν ὑποδιαίρεσις. Τῶν ἀφώνων τὰ μὲν ψιλά, τὰ δὲ δασέα, τὰ δὲ μέσα· καὶ ψιλὰ μέν ἐστι τὰ ὀλίγῳ πνεύματι ἐκφωνούμενα, ἤγουν τὰ ἀσθενῆ κατὰ τὴν ἐκφώνησιν, καὶ ψιλὸν λέγεται τὸ λεπτόν. Εἴρηται δὲ ἀπὸ τοῦ ψῶ ῥήματος, ὃ σημαίνει τὸ λεπτύνω, καθὼς καὶ Σοφοκλῆς φησι 〈Trach. 678〉 ψῇ κα τ ' ἄκρας σπήλυγγο ς· ἐξ οὗ καὶ ψιλὸς στρατιώτης ὁ λεπτὸς καὶ ἀσθενὴς καὶ γυμνὸς καὶ ἄοπλος. Ψιλὰ λέγεται τὰ ὀλίγῳ πνεύματι etc. = Σ d 43, 5—9. 〈Heliodori.〉 — Δασέα τρί α.] Δασέα εἰσὶ τὰ ἀθρόῳ καὶ πολλῷ τῷ πνεύματι προοιστὰ ἤτοι ἐκφωνούμενα. Καὶ εἴρηται δασέα ὡς ἰσχυρά, ἀπὸ τοῦ δα , ὅ ἐστιν ἐπιτατικὸν μόριον, καὶ τοῦ σεύω ῥήματος, ὃ δηλοῖ τὸ ὁρμῶ, ἐξ οὗ καὶ σεύεσθαι τὸ ὁρμᾶσθαι, ἵνα δηλῶται ἐξ ἀμφοτέρων τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δασέα κατὰ ἐτυμολογίαν τὰ πάνυ σεύοντα καὶ ὁρμῶντα τῷ πνεύματι τῆς φωνῆς· οὕτω δὲ ἰσχυρὸν τὸ δασύ, ὅτι φίλαρχος ἡ δασεῖα. Ὅρος αὐτῆς οὗτος, «ποιότης συλλαβῆς, καθ’ ἣν ἀθρόον τὸ πνεῦμα προφέρεται»· τῆς δὲ ψιλῆς, «ποιότης συλλαβῆς, καθ’ ἣν μέτριον τὸ πνεῦμα προφέρεται»· Μέσα τούτων τρί α.

337 ] Μέσα ἐστὶ τὰ μήτε πολλῷ μήτε ὀλίγῳ πνεύματι ἐκφωνούμενα, ἀλλὰ τῶν μὲν ὀλίγον πνεῦμα ἐχόντων ὑπερβεβηκότα τῷ πνεύματι, τῶν δὲ πολὺ ὑποβεβηκότα τῷ πνεύματι. Καὶ γὰρ δὴ τοῦτο σαφές, ὅτι τὰ δασέα ἰσχυρότερά ἐστι τῶν ψιλῶν, ἀφ’ ὧν δείκνυται τὰ μὲν δασέα ἀτρέπτως καὶ ἀκινήτως καὶ ἀμεταθέτως ἔχοντα δασείας αὐτοῖς ἐπαγομένης, οἷον 〈Δ 509. Μ 440〉 ὄρνυσ θ’ , ἱππόδαμοι Τρῶε ς , 〈Α 409〉 ἀμ φ ’ ἅλα ἔλσαι Ἀχαιού ς , 〈Ε 230〉 σὺ μὲν αὐτὸς ἔ χ ’ ἡνία · τὰ δὲ ψιλὰ πάντως τρεπόμενα δείκνυται τῆς δασείας αὐτοῖς ἐπιφερομένης, οἷον 〈Γ 95〉 ὣς ἔφα θ’ , οἱ δ ’ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπ ῇ, 〈ι 279〉 ἀλλά μοι εἴ φ ’ ὅπῃ ἔσχες ἰὼν εὐεργέα νῆ α, 〈ε 229〉 αὐτί χ ’ ὁ μὲν χλαῖνάν τε χιτῶνά τε ἕννυ τ ’ Ὀδυσσεύ ς· πολλάκις δὲ καὶ δύο ὄντα ἐν ταὐτῷ δασείας αὐτοῖς ἐπιφερομένης τρέπεται, ὡς ἐν τῷ 〈Δ 243〉 τίφ θ ’ οὕτως ἔστητε τεθηπότες ἠύτε νεβρο ί; Τὰ μέσα μέσην εἴληφε δύναμιν τῶν ψιλῶν καὶ τῶν δασέων· μέσα γάρ ἐστι τὰ ἐπ’ ἴσης ἀμφοτέρων ἀπέχοντα, τῶν μὲν ψιλῶν δυνάμει, τῶν δὲ δασέων ἀσθενείᾳ· ἰσχυρότερα γὰρ τῶν ψιλῶν τὰ δασέα· καὶ γὰρ τὰ δασέα ψιλοῦσι τὰ πρὸ αὐτῶν φωνήεντα, ὡς ἰσχυρότερα τῶν ψιλῶν τυγχάνοντα, ἵνα μὴ ἐπάλληλος ἡ δασεῖα φθάσῃ, τὰ δὲ ψιλά, ὡς ἀσθενέστερα ὄντα τῶν δασέων, οὐ ψιλοῦσι τὰ πρὸ αὐτῶν φωνήεντα. 〈Heliodori.〉 — Καὶ ἔστι τὸ μὲν β μέσον τοῦ π καὶ φ , τὸ δὲ γ μέσον τοῦ κ καὶ χ , τὸ δὲ δ μέσον τοῦ θ καὶ τ .] Τρεῖς ἡμῖν δίδωσι θέσεις ὁ τεχνικός, ψιλῶν, δασέων καὶ μέσων, καὶ ὡς τὸ μὲν β μέσον τοῦ π καὶ φ , τὸ δὲ γ μέσον τοῦ κ καὶ χ , τὸ δὲ δ μέσον τοῦ θ καὶτ · μέσα δὲ εἴρηται, ὅτι τῶν μὲν ψιλῶν εἰσι δασύτερα, τῶν δὲ δασέων ψιλότερα. Ζητεῖται 〈δέ〉 , πῶς τῶν μὲν ψιλῶν ἐστιν ἰσχυρότερα, τῶν δὲ δασέων ἀσθενέστερα. Ὅτι τὰ μὲν ψιλὰ σύμφωνα εἰς δασέα μετατρέπεταί τε καὶ μεταβάλλεται, ὅταν συναλοιφὴ γένηται καὶ δασὺ φωνῆεν αὐτοῖς ἐπενεχθῇ· εἰ δὲ τὰ μέσα ταύτην οὐ πάσχει τὴν μεταβολὴν δασείας αὐτοῖς ἐπιφερομένης, ὁμολογούμενόν ἐστιν ὅτι ἰσχυρότερά ἐστι τῶν ψιλῶν, ὡς δῆλον ἐκ τούτων τῶν ὑποδειγμάτων· 〈Ε 328〉 ἔλα β ’ ἡνία σιγαλόεντα, 〈ex gr. Α 68〉 ἤτοι ὅ γ ’ ὣς εἰπὼν κα τ ’ ἂρ ἕζετ ο, 〈κ 214〉 οὐ δ ’ οἵ γ ’ ὡρμήθησα ν· δασέων δὲ κατὰ τοῦτον τὸν λόγον ἀσθενέστερά ἐστι τὰ μέσα, ὅτι τὰ μὲν δασέα, ἅτε δὴ ἰσχυρότερα τυγχάνοντα, ψιλοῦσι τὰ πρὸ αὐτῶν φωνήεντα, ἵνα μὴ ἐπάλληλος ἡ δασεῖα γένηται, οἷον ὀφρύς Ὄθρυς, τὰ δὲ μέσα, ἅτε δὴ ἀσθενέστερα ὄντα, 〈οὐ〉 ψιλοῦσι τὰ πρὸ αὐτῶν φωνήεντα, οἷον ἥβη ἡγεμών Ἅιδης. Καὶ ὡς ἄν τις σύγκρισιν ποιούμενος θερμοτάτου καὶ ψυχροτάτου μέσον τι καλέσειεν ὡς πρὸς σύγκρισιν ἀμφοτέρων τῶν ἀκροτάτων—συγκρινόμενον γὰρ πρὸς τὸ θερμὸν ψυχρὸν ἂν νομισθείη, πρὸς δὲ τὸ ψυχρὸν θερμόν—, τοῦτον τὸν τρόπον καὶ τὰ μέσα πρὸς 〈μὲν〉 τὰ δασέα ψιλά ἐστι, πρὸς δὲ τὰ ψιλὰ δασέα.

338 Καὶ ἔστι τὸ μὲν β μέσον τοῦ π καὶ φ .] Μέσον δὲ πῶς; Ὅτι ὅσῳ ἰσχυροτέραν εἴληφε δύναμιν τοῦ π ψιλοῦ ὄντος, τοσούτῳ ἀσθενεστέραν ἔχει ἰσχὺν τοῦ φ δασέος ὄντος· καὶ τὸν αὐτὸν λόγον δίδωσι καὶ ἐπὶ τῶν ἄλλων. Ζητεῖται 〈δέ〉 , πῶς μὴ ἀδιαφόρως ἕκαστον τῶν μέσων ἐστὶ καὶ ὡς ἔτυχε μεσάζεται ψιλοῦ τε καὶ δασέος, ἵνα ἕκαστον μέσον πάντων τῶν ψιλῶν καὶ τῶν δασέων ᾖ, καί, ἅτε δὴ μέσον πάντων ἕκαστον μέσον ὑπάρχον, ὡς ἔτυχε μέσον γένηται ψιλοῦ τε καὶ δασέος. Καὶ ἔστιν εἰπεῖν, ὅτι κατὰ συγγένειαν καὶ ἰσοστοιχίαν κανονίζεται ταῦτα· ἔστι δὲ αὐτῶν τὴν συγγένειαν στοχάζεσθαι ἔκ τε τῆς κλίσεως τῶν ῥημάτων ὁμοίως καὶ τῶν ὀνομάτων, ὅτι [γὰρ] τὰ ῥήματα τὰ διὰ τοῦ β ἢ π ἢ φ ἐκφερόμενα διὰ τοῦ ψ ποιοῦσι τὸν μέλλοντα, οἷον λείβω λείψω, τέρπω τέρψω, γράφω γράψω· ἰδοὺ μία συγγένεια τῶν τριῶν ἐκ τοῦ μέλλοντος ἐδείχθη. Καὶ ἐροῦμεν πάλιν, ὅτι τὰ ὀνόματα τὰ εἰς ψ λήγοντα τὴν γενικὴν δι’ ἑνὸς τούτων ἐκφέρει, ἢ διὰ τοῦ β ἢ διὰ τοῦ π ἢ διὰ τοὺ φ , οἷον λίψ λιβός, Πέλοψ Πέλοπος, Κίνυψ Κίνυφος· ἰδοὺ πάλιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν τριῶν ἡ συγγένεια ἐκ τῆς γενικῆς τῶν ὀνομάτων ἐδείχθη. Τὸ αὐτὸ καὶ ἐπὶ τοῦ γ κ χ λέγομεν, ὅτι τῶν τριῶν μία ἐστὶ συγγένεια, καθότι τὸ κ τῷ χ ἀντιστοιχεῖ μόνῳ, καὶ ὅτι μέσον αὐτῶν μόνον ἐστὶ τὸ γ καὶ οὐκ ἄλλων, ὡς ἔστι φῆναι ἐκ 〈τῆσ〉 κλίσεως 〈τῶν〉 ῥημάτων τε καὶ ὀνομάτων· πᾶν γὰρ ῥῆμα διὰ τούτων ἐκφερόμενον, τοῦ γ κ χ , διὰ τοῦ ξ ποιεῖ τὸν μέλλοντα, οἷον λέγω λέξω, πλέκω πλέξω, ἔχω ἕξω, καὶ πᾶν ὄνομα εἰς ξ λῆγον δι’ ἑνὸς τούτων ἐκφέρει τὴν γενικήν, 〈οἷον〉 τέττιξ τέττιγος, πέρδιξ πέρδικος, ὄνυξ ὄνυχος. Τὸν αὐτὸν δὴ λόγον φαμὲν καὶ ἐπὶ τοῦ δ θ τ , ὅτι τῶν τριῶν μία ἐστὶν ἡ συγγένεια, διότι τὸ θ τῷ τ ἀντιστοιχεῖ μόνῳ, καὶ ὅτι αὐτῶν μόνων μέσον ἐστὶ καὶ οὐκ ἄλλων τὸ δ , ὡς ἔστι δηλῶσαι ἔκ τε τῶν ῥημάτων καὶ τῶν ὀνομάτων· πᾶν γὰρ ῥῆμα διὰ τούτων ἐκφερόμενον, τοῦ δ θ τ , διὰ τοῦ ς ποιεῖ τὸν μέλλοντα, οἷον ᾄδω ᾄσω, πλήθω πλήσω, ἀνύτω ἀνύσω, καὶ πᾶν ὄνομα εἰς ς λῆγον δι’ ἑνὸς τούτων ἐκφέρει τὴν γενικήν, 〈οἷον〉 Ἄδωνις Ἀδώνιδος, ὄρνις ὄρνιθος, ἔρως ἔρωτος. Καὶ ἔστιν εἰπεῖν ἀναγκαστικῷ λόγῳ, ὅτι ταύτην αὐτοῖς ἡ φύσις ἐδωρήσατο τὴν συγγένειαν. Καὶ ἔστι τὸ μὲν β μέσον τοῦ π καὶ φ καὶ τὰ ἑξῆ ς. ] Οὐχ ὡς ἔτυχεν et c . = Σ d 4 3 , 10—4 4 , 1 4 . 〈Heliodor i .

339 〉 Ἀντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖ ς.] Ἡ ἀντί πρόθεσις δύο σημαίνει· ποτὲ μὲν τὸ ἐναντιούμενον, ὡς τὸ 〈cfr α 70〉 ἀντίθεον Κύκλωπα, τουτέστιν ἐναντίον θεοῖς· οἱ μὲν γὰρ θεοὶ «δωτῆρες ἑάων», ὁ δὲ Κύκλωψ δοτὴρ τῶν κακῶν· τοὺς γὰρ Ὀδυσσέως ἑταίρους οὐκ ἐλεῶν κατήσθιε· καὶ ἀντίθεον δόγμα· σημαίνει δὲ καὶ τὸ ἴσον, ὡς τὸ 〈cfr Κ 112〉 ἀντίθεον Αἴαντα, ἀντὶ τοῦ ἰσόθεον κατ’ ἀρετήν. Οὕτω καὶ ἐνταῦθα ἀντίστοιχα λέγομεν τὰ ἰσόστοιχα, ἐπεὶ ἰσοστοιχεῖ καὶ τὴν ἴσην καὶ τὴν αὐτὴν ἀναδέχεται τάξιν τε καὶ θέσιν τὰ δασέα τοῖς ψιλοῖς, καὶ ἀντιμεταβάλλεται καὶ ἀντιπαραχωρεῖ τοῖς δασέσι τὰ ψιλά· πολλάκις γὰρ εἰς τὸν τόπον τῶν ψιλῶν τὰ δασέα τίθεται, ἀλλ’ οὐχ οἱαδήποτε οἱωνδήποτε, ἀλλὰ τὰ κατὰ τὸν αὐτὸν τόπον τῶν φωνητικῶν ὀργάνων ἐκφωνούμενα· καὶ ὡς ἐλάσσονα τῇ δυνάμει τοῦ πνεύματος τὴν τοῦ μείζονος πνεύματος ἐπιφορὰν ὑποστέλλεται, ὡς ἐπὶ ἀνθρώπων ὁ ἐλάσσων μετασχηματίζεται μείζονος ἐπερχομένου. Ζητεῖται δέ, διὰ τί ἄρα ὁ τεχνικὸς ἐνθυμηθεὶς οὐκ εἶπεν «ἀντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖς, τὸ μὲν φ τῷ π », ἀλλὰ τοὐναντίον τὸ ψιλὸν τοῦ δασέος προέταξεν, εἶτα πάλιν ὑποκατιὼν εἶπε «τὸ δὲ θ τῷ τ », 〈καὶ〉 ὥσπερ γνοὺς τὸ ἴδιον πταῖσμα τὸ δασὺ τοῦ ψιλοῦ προέταξε. Καὶ τινὲς μὲν λέγουσιν, ὅτι ἄνω πρὸς τὸ δεύτερον ἀπήντησεν· ἐγὼ δὲ λέγω, ἐννοίᾳ καλλίστῃ οὕτως εἶπε, βουλόμενος αἰνιγματωδῶς δεῖξαι, ὡς οὐ μόνον δασέα ἀντὶ ψιλῶν παραλαμβάνεται, ἀλλὰ καὶ ψιλὰ ἀντὶ δασέων. Ἀλλ’ ἴσως ἂν φήσειέ τις· «καὶ πῶς ἔστι δεῖξαι ὅτι ψιλὰ ἀντὶ δασέων παραλαμβάνεται;» Πρὸς ὃν ἐροῦμεν, ὅτι τοῦτο ἔστιν εὑρεῖν ἔν τε ὀνόμασι καὶ ῥήμασιν· ἂν μὲν γὰρ ἐν ῥήμασι διπλασιαζόμενον σύμφωνον εὑρεθῇ δασύ, μεταβάλλεται τὸ ἓν δασὺ εἰς ψιλόν, ἵνα μὴ δύο δασέων ἐκφωνουμένων τραχυτέρα γένηται ἡ φωνή, οἷον ἐν τῷ θραύω ἀναδιπλασιάζοντες τὸν παρακείμενον οὐ λέγομεν θέθραυκα, ἀλλὰ τέθραυκα· ὁμοίως καὶ ἐν τῷ φιλῶ οὔ φαμεν φεφίληκα, ἀλλὰ πεφίληκα, καὶ ἐν τῷ χρυσῶ ὡσαύτως οὐ λέγομεν χεχρύσωκα, ἀλλὰ κεχρύσωκα. Ἐν δὲ ὀνόμασι πάλιν ὅτε χρεία μεταβάλλεται τὸ δασὺ εἰς ψιλόν, οἷον ἀπὸ τοῦ θρύπτω ῥήματος, ὃ σημαίνει τὸ διακλῶ καὶ μαλθάσσω, γίνεται ὄνομα τρυφή, ἡ διακλῶσα καὶ μαλθάσσουσα ἡμῶν τὰ σώματα, καὶ οὐ θρυφή, καὶ ἀπὸ τοῦ θρίξ ὀνόματος γίνεται γενικὴ τριχός, καὶ οὐ θριχός, 〈καὶ〉 ἀπὸ τῆς ἀμφί προθέσεως γίνεται ὄνομα ἀμπεχόνη, καὶ οὐκ ἀμφεχόνη· καὶ πάλιν ἐκ τοῦ ἔχω ῥήματος γίνεται ὄνομα ἐκεχειρία, καὶ οὐκ ἐχεχειρία. Σαφῶς τοίνυν δέδεικται, ὅτι δι’ αἰνίγματος εἶπεν ὁ τεχνικός, ὡς παραλαμβάνεται ψιλὰ ἀντὶ δασέων, ἐν οἷς φησι «τῷ π τὸ φ ἀντιστοιχεῖ», καὶ πάλιν τὰ δασέα ἀντὶ ψιλῶν, ἐν οἷς φησι «τὸ θ τῷ τ ἀντιστοιχεῖ», καὶ ὅτι ἐκ ῥημάτων καὶ ὀνομάτων τῷ τεχνογράφῳ ἡ μαρτυρία προέρχεται.

340 Πάλιν οὖν ζητητέον, ὥσπερ etc. = Σ v 202, 31—33. 〈Heliodori.〉 — Ἔτι δὲ τῶν συμφώνων διπλᾶ μέν ἐστι τρί α , ζ ξ ψ .] Καλῶς εἶπε «τῶν συμφώνων» καὶ οὐ «τῶν ἡμιφώνων»· διαίρεσις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γάρ ἐστιν αὕτη δευτέρα τῶν συμφώνων ἡ περὶ δύναμιν· καὶ μιμεῖται ἡ διαίρεσις αὕτη τὴν τῶν φωνηέντων διαίρεσιν· ὥσπερ γὰρ λέγομεν, ὅτι τῶν φωνηέντων τὰ μέν ἐστι μακρά, τὰ δὲ βραχέα, οὕτω καὶ τῶν συμφώνων τὰ μέν ἐστιν ἁπλᾶ, τὰ δὲ διπλᾶ· καὶ ὥσπερ ἐκεῖ τὰ μακρὰ μείζονα δύναμιν ἔχει τῶν βραχέων, καθὸ τὸ μὲν μακρὸν δύο χρόνους ἔχει, τὸ δὲ βραχὺ ἕνα, οὕτω καὶ ἐνταῦθα τὰ διπλᾶ μείζονα δύναμιν ἔχει τῶν ἁπλῶν, διότι τὸ μὲν διπλοῦν τέλειον χρόνον ἔχει, τὸ δὲ ἁπλοῦν ἡμιχρόνιον ἔχει, τουτέστιν ἥμισυ χρόνου· καὶ ὥσπερ ἐκεῖ τὰ μὲν μακρὰ μακρὰς ποιοῦσι τὰς συλλαβάς, τὰ δὲ βραχέα βραχείας, οὕτω καὶ ἐνταῦθα τὰ μὲν διπλᾶ βραχέος ἢ βραχυνομένου φωνήεντος αὐτοῖς συμπλεκομένου μακρὰς ποιοῦσι τὰς συλλαβάς, τὰ δὲ ἁπλᾶ βραχέος ἢ βραχυνομένου φωνήεντος αὐτοῖς συμπλεκομένου πάντως βραχείας· καὶ ὥσπερ ἐκεῖ τὰ δίχρονα ποτὲ μὲν μακρὰς ποτὲ δὲ βραχείας ποιοῦσι τὰς συλλαβάς, οὕτω καὶ ἐνταῦθα τὰ ἀμετάβολα τῶν ἀφώνων ὑποταττόμενα κατὰ σύλληψιν ποτὲ μὲν μακρὰς ποτὲ δὲ βραχείας ποιοῦσι τὰς συλλαβάς· καὶ ὥσπερ τὰ φωνήεντα ἐπιπλεκόμενα ἀλλήλοις μακρὰς ποιοῦσι τὰς συλλαβάς, οὕτω καὶ τὰ σύμφωνα συνερχόμενα καὶ ἐπιφερόμενα μακρὰς ποιοῦσι τὰς συλλαβάς. Τινὲς δὲ λέγουσι, διὰ τί οὐκ εἶπε «τῶν ἡμιφώνων διπλᾶ μέν ἐστι τρία», ἀλλὰ «τῶν συμφώνων»; Πρὸς οὓς λέγομεν, ὅτι ἐνταῦθα ἐπιδιαίρεσίς ἐστι τῶν συμφώνων, καὶ οὐ τῶν ἡμιφώνων· οὐδὲ λέγομεν ὅτι τῶν ἡμιφώνων τὰ μὲν διπλᾶ, τὰ δὲ ἀμετάβολα, ἀλλὰ τῶν συμφώνων διπλᾶ μέν ἐστι τρία, ἁπλᾶ δὲ ιδʹ· ὁμοίως τὰ μέν ἐστιν ἀμετάβολα, τὰ δὲ μεταβολικά, ὥσπερ τῶν ἀνθρώπων οἱ μὲν ἔμφρονες, οἱ δὲ ἄφρονες, οἱ μὲν ἰσχυροί, οἱ δὲ ἀσθενεῖς, καὶ οὐχὶ οἱ μὲν ἔμφρονες, οἱ δὲ ἀσθενεῖς, ἢ οἱ μὲν ἰσχυροί, οἱ δὲ ἄφρονες. Διπλᾶ δὲ εἴρητα ι , ὅτι ἓν ἕκαστον αὐτῶν ἐκ δύο συμφώνων σύγκειτα ι.] Ἔδει σύνθετα ὀνομάζεσθαι, καὶ οὐ διπλᾶ· τὰ γὰρ ἐκ δύο συνεστῶτα διαφόρων σύνθετα καλοῦμεν, ὥσπερ τὸ Φιλοκτήτης καὶ τὸ Περικλῆς καὶ τὸ Χειρίσοφος σύνθετα καλοῦμεν ὀνόματα· τὰ δὲ ἐκ τοῦ αὐτοῦ ἀναδεδιπλωμένα διπλᾶ ὀνομάζομεν, ὥσπερ φαμὲν δεδιπλῶσθαι τὸν χιτῶνα, καὶ ἐν τῷ ἔρραγκα δεδιπλασιάσθαι τὸ ρ .

341 Οὕτω καὶ ταῦτα διπλᾶ εἴρηται, διότι ἓν ἕκαστον αὐτῶν σύγκειται ἐκ δύο συμφώνων· ἢ [ὅτι] καὶ διπλᾶ εἴρηται οὐχ ὡς ἐκ δύο συμφώνων συγκείμενα, ἀλλ’ ὡς δύο συμφώνων δύναμιν ἔχοντα etc. = Σ d 45, 30—46, 3. 〈Heliodori.〉 —Ζητητέον δὲ διὰ τί τριῶν ὄντων διπλῶν, ζ ξ ψ , τὸ μὲν ξ καὶ ψ ληκτικά ἐστιν ὀνομάτων, τὸ δὲ ζ οὐκέτι. Καί φαμεν καλῶς πρὸς τοῦτο ἀπολογούμενοι, ὅτι οὐ πάντως τὰ ὁμογενῆ καὶ ὁμοειδῆ τοῖς αὐτοῖς ὑποπίπτει πάθεσιν· ἰδοὺ γὰρ τριῶν ὄντων διχρόνων τὰ μὲν προτακτικὰ φαίνεται, τὰ δὲ ὑποτακτικά, καὶ πάλιν τεσσάρων ὄντων ἀμεταβόλων τὰ μέν ἐστιν αὐτῶν ὀνομάτων ληκτικά, ὡς τὸ ν καὶ τὸ ρ , τὰ δὲ ῥημάτων μόνον τυπωτικά, ὡς τὸ λ καὶ τὸμ · δῆλον οὖν ὡς οὐκ ἀνάγκη τὰ ὁμοειδῆ καὶ ὁμογενῆ στοιχεῖα τὰ αὐτὰ ἀναδέχεσθαι πάθη. Καὶ ἄλλως φαμέν, ὅτι τὸ ς ληκτικόν ἐστιν ὀνομάτων· καὶ ἐπεὶ πέφυκε ληκτικὸν ὑπάρχειν ὀνομάτων τὸ ς , ὅπερ ἐστὶ δυνάμει κατὰ τὸ τέλος ἐν τῷ ξ καὶ ψ —λέγομεν γὰρ τὸ ξ ἐκ τοῦ κ καὶ ς καὶ τὸ ψ ἐκ τοῦ π καὶ ς —, οὐδὲν τὸ κωλύον ληκτικὸν εἶναι ὀνομάτων τὸ ξ καὶψ · τὸ δὲ ζ ἐν τῇ ἐκφωνήσει τελευταῖον ἔχει τὸ δ , ὅπερ οὐδέποτε ληκτικὸν εὑρέθη τινός· διὰ τοῦτο 〈οὖν〉 ἀδύνατον καταληκτικὸν εἶναι ὀνομάτων τὸ ζ . Ἀμετάβολα τέσσαρ α.] Τρίτη διαίρεσις αὕτη περὶ δύναμιν τῶν συμφώνων, ὅτι τὰ μέν ἐστιν ἀμετάβολα, τὰ δὲ μεταβολικά· καὶ ἀμετάβολα μὲν τέσσαρα, λ μ ν ρ , μεταβολικὰ δὲ ιγ′. Ταῦτα τὰ ἀμετάβολα τῆς ὀνομασίας ἔτυχεν ἀπὸ τῆς χρήσεως, ἐπείπερ οὔτε ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων οὔτε ἐν ταῖς κινήσεσι τῶν ῥημάτων εὑρίσκομεν ταῦτα μεταβαλλόμενα. Καὶ τελικὰ μὲν ὀνομάτων εἰσὶν ἐξ αὐτῶν δύο, ν ρ , ἅτινα οὐ μεταβάλλεται κατὰ κλίσιν, 〈οἷον〉 Δίων Δίωνος, Νέστωρ Νέστορος. Εἰ δέ τις εἴποι, ὅτι ἐν τοῖς οὐδετέροις μεταβάλλεται τὸ ρ , ὡς ἐν τῷ ὕδωρ ὕδατος, ἧπαρ ἥπατος, ἴστω ὅτι τὰ τοιαῦτα οὐδέτερα ἑτερόπτωτά εἰσι καὶ οὐκ ἰδιόπτωτα· ἑτέραν γὰρ κλίσιν ποιοῦνται· ἡ γὰρ γενικὴ αὐτῶν ἐπαγγέλλεται ἑτέραν εὐθεῖαν, καὶ ἡ εὐθεῖα ἑτέραν γενικήν· ἡ γὰρ εἰς τος λήγουσα γενικὴ ἀπὸ τῶν εἰς ς εὐθειῶν θέλει εἶναι, ὡς κρέας κρέατος, καὶ τῆς εἰς ρ ληγούσης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εὐθείας εἰς ρος θέλει εἶναι ἡ γενική, 〈ὡσ〉 πέλωρ πέλωρος. Ἐν δὲ τοῖς ῥήμασι τὰ τέσσαρα εὑρίσκεται μὴ μεταβαλλόμενα, ὡς πάλλω παλῶ, νέμω νεμῶ, κρίνων κρινῶ, σπείρω σπερῶ· μεταβάλλεται δὲ τὰ ἄλλα, λείβω λείψω, λέγω λέξω, ᾄδω ᾄσω, νήθω νήσω, πλέκω πλέξω, Φοῖνιξ Φοίνικος, Πάρις Πάριδος, ἀνύτω ἀνύσω, ἀλείφω ἀλείψω, λείχω λείξω, Ἄραψ Ἄραβος· τὸ δὲ πωλῶ πωλήσω καὶ τὰ ὅμοια ὡς περισπώμενα περιττοσυλλάβως κλίνεται.

342 Τί γοῦν ἂν εἴποιμεν περὶ τοῦ ἑτέρου; εἶπε γὰρ ἡμῖν περὶ τῶν τριῶν διπλῶν καὶ περὶ τῶν τεσσάρων ἀμεταβόλων, τὰ πάντα ἡμίφωνα εἰρηκὼς εἶναι ὀκτώ, ὥστε ζητεῖσθαι τὸς · διὰ τί μηδὲν περὶ τούτου εἴρηκε; Φαμὲν ὅτι ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων ὥρισται 〈καὶ〉 κοινόν ἐστι τῶν τριῶν γενῶν. Τὰ δὲ αὐτὰ καὶ ὑγρὰ καλεῖτα ι.] Λέγει δὲ αὐτὰ καλεῖσθαι καὶ ὑγρὰ ἢ διὰ τὸ ἀμετάπτωτα καὶ ἀμετάθετα εἶναι ταῦτα καὶ δυσεξάλειπτα διὰ τὸ μὴ μεταβάλλεσθαι, ἵνα εἴπω ἀμετάβολα ἀπὸ μεταφορᾶς τῶν ὑγρῶν χρωμάτων καὶ ταῦτα καλεῖσθαι, ἐπειδὴ κἀκεῖνα δυσεξάλειπτά ἐστι καὶ ταῦτα δυσμετάθετα. Ἕτεροι δὲ αὐτὰ ὑγρὰ ἐκάλεσαν ὡς εὐόλισθα, τουτέστιν ὀλισθηρά, ἐπί τε τὸν τῆς μακρᾶς χρόνον καὶ ἐπὶ τὸν τῆς βραχείας· συμπλεκόμενα γὰρ τοῖς ἀφώνοις κοινὴν ἀποτελεῖ συλλαβήν· οὕτως οὖν καὶ ταῦτα ὑγρὰ καλεῖται, ὡς ποτὲ μὲν παρὰ τῷ ποιητῇ ἀντὶ δύο συμφώνων κείμενα, ποτὲ δὲ ἀντὶ ἑνός. Ὥσπερ τῶν φωνηέντων τὰ μέν ἐστι μακρά, τὰ δὲ βραχέα, τὰ δὲ δίχρονα, οὕτω καὶ τῶν συμφώνων τὰ μέν ἐστι μακρά, ἅ φησιν αὐτὸς διπλᾶ, ζ ξ ψ , τὰ δὲ δίχρονα, λ μ ν ρ , τὰ δὲ ἐπίλοιπα βραχέα· καὶ ὥσπερ τῶν φωνηέντων τὰ μέν ἐστιν ἀμετάβολα, τὰ δὲ μεταβολικά, οὕτω καὶ ἐπὶ τῶν συμφώνων τὰ μὲν τέσσαρα ταῦτά εἰσιν ἀμετάβολα, τὰ δὲ ἄλλα μεταβολικά· καὶ ὥσπερ τὰ δίχρονα ἐν τοῖς φωνήεσιν ἕτεροι καὶ ὑγρὰ ἐκάλεσαν etc. = Σ d 46, 24—47, 11. Πόσα τελικὰ τῶν ἀρσενικῶν ἑνικῶν ἀνεπεκτάτων κοινῶν ὀνομάτων κατ’ εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν στοιχεῖα; Πέντε, ν ξ ρ ς ψ , οἷον Δίων Φοῖνιξ Νέστωρ Πάρις Πέλοψ. Διὰ τί λέγεται τελικά; Διότι αἱ ἑνικαὶ τῶν ὀνομάτων εὐθεῖαι τελευτῶσιν εἰς αὐτά. 〈Heliodori.〉 — Τελικὰ ἀρσενικῶν ὀνομάτων στοιχεῖά εἰσι ε′, ν ξ ρ ς ψ .] Ἀναγκαῖον προσθεῖναί 〈τινα〉 τῷ λόγῳ, ἵν’ ᾖ ὁ λόγος οὕτως· «τελικὰ ἀρσενικῶν ἑνικῶν ἀνεπεκτάτων κοινῶν ὀνομάτων κατ’ εὐθεῖαν [καὶ ἑνικὴν] πτῶσιν στοιχεῖά εἰσι πέντε». Καὶ «ἀρσενικῶν» μὲν πρόσκειται διὰ τὰ ἄλλα γένη, «ἑνικῶν» δὲ διὰ τὰ δυϊκὰ καὶ πληθυντικά, «κατ’ εὐθεῖαν πτῶσιν» διὰ τὰς πλαγίους, «ἀνεπεκτάτων» δὲ διὰ τὸ τοσόσδε καὶ τοιόσδε καὶ τὰ ὅμοια, «κοινῶν» δέ, ὅπως μὴ τὰς παρὰ βαρβάροις καταλήξεις ἐπιφέρωμεν, ὁ Φλέγρα λέγοντες καὶ ὁ Ἀνδρούβαλ καὶ τὰ λοιπά. Πέντε δὲ εἶπε μόνον εἶναι τελικὰ ἀρσενικῶν ὀνομάτων στοιχεῖα, ἐπεὶ οὔτε τὸ α προσαπτέον διὰ τὸ ἱππότα καὶ μητίετα· οὐδὲν γὰρ τῶν τῆς πρώτης δυοδεκάδος στοιχείων τελικὸν ἀρσενικῶν ὀνομάτων ὑπάρχει· ὅθεν καὶ τὰ παρὰ τῷ ποιητῇ 〈ex.

343 gr. B 336〉 ἱππότα Νέστωρ καὶ 〈ex. gr. A 511〉 νεφεληγερέτα Ζεύς φαμὲν καταλήξεις ἔχειν ποιητικῆς ἐξουσίας· οὔτε πάλιν τὸ λ διὰ τὸ Βάκαλ· τὰ γὰρ φθάσαντα τελικὰ ὀνομάτων 〈τελικὰ〉 καὶ ἑτέρων γίνεται μερῶν λόγου· οὔτε γοῦν τὸ ε διὰ τὸ τοιόσδε, ἐπέκτασις γάρ ἐστι. Τελικὰ δέ ἐστι τὰ τοῦ τέλους χαρακτηριστικά· φαμὲν γὰρ ἐν τῷ Δίων χαρακτηρι〈στι〉κὸν εἶναι τοῦ τέλους τὸ ν , καὶ ἐν τῷ Φοῖνιξ τὸ ξ , καὶ ἐν τῷ Νέστωρ τὸ ρ , καὶ ἐν τῷ Πέλοψ τὸ ψ . Πόσα τελικὰ τῶν θηλυκῶν ὀνομάτων; Ὀκτώ· φωνηέντων μὲν τρία, α η ω , τῶν δὲ συμφώνων πέντε, ν ξ ρ ς ψ , οἷον Μοῦσα Ἑλένη Κλειώ χελιδών ἕλιξ μήτηρ Θέτις λαῖλαψ. —Πόσα τελικὰ τῶν οὐδετέρων ὀνομάτων; Ἕξ· τρία μὲν τῶν φωνηέντων, α ι υ , τρία δὲ τῶν ἡμιφώνων, ν ρ ς , οἷον ἅρμα μέλι δόρυ ξύλον ὕδωρ δέπας· τινὲς δὲ προστιθέασι καὶ τὸ ο , οἷον ἄλλο. 〈Heliodori. 〉 — Θηλυκῶν δὲ ὀκτ ώ, α η ω ν ξ ρ ςψ · οὐδετέρων δὲ ἕ ξ , α ι υ ν ρς · τινὲς δὲ προστιθέασι καὶ τὸ ο , οἷον ἄλλ ο.] Τοῦτο οὐκ ἀρέσκει τῷ τεχνικῷ· διὰ τοῦτο εἶπε τὸ «τινές»· φαμὲν γάρ, πᾶν οὐδέτερον ἐξ ἀρσενικοῦ γεγονὸς εἰ μὲν ἰσοσυλλάβως κλίνοιτο, τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ ὁμοφωνεῖ, εἰ δὲ περιττοσυλλάβως, τῇ κλητικῇ, οἷον ὁ καλός τοῦ καλοῦ τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καλῷ τὸν καλόν καὶ τὸ οὐδέτερον τὸ καλόν, ὁ σώφρων τοῦ σώφρονος τῷ σώφρονι τὸν σώφρονα ὦ σῶφρον καὶ τὸ οὐδέτερον τὸ σῶφρον· εἰ τοίνυν τὸ ἄλλο ἰσοσυλλάβως κλίνεται, τὸ ν ἐχέτω τὸ οὐδέτερον, ἵνα τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ ὁμοφωνήσῃ· εἰ δὲ οὐκ ἔχει τὸ ν , ἔλλειψιν ἄρα πέπονθε τοῦ ν , ὅπερ κατὰ τὴν σύνθεσιν φαίνεται ἔχον· ἔξαλλον γὰρ καὶ ἄνταλλον καὶ περίαλλον καὶ πάραλλον φαμὲν παιδίον· εἰ δὲ ἄλλος ἄλλου, ὡς τὸν ἄλλον οὕτως ἐχρῆν τὸ ἄλλον. Τὸ δὲ ἄλλο πέπονθεν· ἐν γὰρ τῇ συνθέσει τὸ ἀνάλογον δέδοται, καθὼς προείρηται, οἷον ἔξαλλον ἄνταλλον· οὐ γὰρ τῷ λόγῳ τῆς συνθέσεώς ἐστι· τὰ γὰρ οὐδέτερα συντιθέμενα ἐὰν φυλάξῃ τὸ γένος, τηρεῖ τὴν κατάληξιν, οἷον γράμμα διάγραμμα· εἰ δ’ ἦν ἄλλο καὶ φυλάττει τὸ γένος, ἐν τῷ ἄνταλλον ἐχρῆν τηρεῖσθαι καὶ τὸ τέλος. Δυϊκῶν δὲ τρί α, α ε ω .] Ἰστέον ὅτι τὰ τελικὰ τῶν δυϊκῶν ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν κανονίζεται· καὶ τὸ μὲν α τὸ ἐν τοῖς δυϊκοῖς διχῶς ἀποτελεῖται· πᾶσα γὰρ δοτικὴ ἑνικῶν εἰς η ἢ εἰς α λήγουσα τὸ μὲν η εἰς α τρέπουσα, τὸ δὲ α ἄτρεπτον διαφυλάττουσα, τὴν εὐθεῖαν τῶν δυϊκῶν ποιεῖ· τὸ δὲ ε οὕτω· πᾶσα δοτικὴ ἑνικῶν εἰς ι ἐκφωνούμενον λήγουσα τροπῇ τοῦ ι εἰς ε τὴν εὐθεῖαν τῶν δυϊκῶν ποιεῖ· τὸ δὲ ω οὕτω· πᾶσα δοτικὴ ἑνικῶν εἰς ῳ λήγουσα ἐκβολῇ τοῦ ἀνεκφωνήτου ι τὴν εὐθεῖαν τῶν δυϊκῶν ποιεῖ.

344 Πληθυντικῶν δὲ τέσσαρα, ι ς α η .] Τεσσάρων ὄντων τῶν τελικῶν ἐν τοῖς πληθυντικοῖς τὸ μὲν ι καὶ ς ἐκ τῆς εὐθείας τῶν δυϊκῶν γίνεται, τὰ Μούσα αἱ Μοῦσαι, τὼ ἀνθρώπω οἱ ἄνθρωποι, τὼ ἔρωτε οἱ ἔρωτες· τὸ δὲ α φυσικῶς προέρχεται, τὰ παιδία, τὰ βιβλία· τὸ δὲ η κατὰ συναίρεσιν, 〈τὰ βέλεα, τὰ βέλη〉 . Διὰ τί μετὰ τὰς διαιρέσεις τῶν στοιχείων περὶ τελικῶν ὁ τεχνικὸς διαλαμβάνει; Ὅπως γνῶμεν τὴν τῶν τελικῶν 〈τῶν〉 ὀνομάτων χρῆσιν· ὅσα γὰρ μὴ φαίνονται τὴν τούτων κατάληξιν ἔχοντα, πάντα βάρβαρα δείκνυται, ὡς τὰ ὀνόματα τῶν παρ’ Αἰγυπτίοις 〈μηνῶν〉 · πλὴν τοῦ νεφεληγερέτα· τοῦτο γὰρ κατὰ ποιητικὴν ἐξουσίαν ἐγένετο. —Ποῖα στοιχεῖα ποίων προηγοῦνται; Ψιλὰ ψιλῶν ἡγοῦνται καὶ δασέα δασέων καὶ μέσα μέσων· ψιλὰ μὲν ψιλῶν, οἷον κτύπος, δασέα δὲ δασέων, οἷον ἰχθύς, μέσα δὲ μέσων, οἷον ἕβδομος ὄγδοος. § 7 (8b). Περὶ συλλαβῆς. Erotemata amplissima praebet V, quorum loco N habet artis verba Συλλαβή—ὑποβέβληται (16, 7—23, 3 Uhl.). Φασί τινες οὐ καλῶς etc. = Σ v 204, 25—205, 4. 〈Heliodori.〉 —Συλλαβή ἐστι κατὰ Ἀριστοτέλην φωνὴ ἄσημος συγκειμένη ἀπὸ φωνήεντος καὶ ἀφώνου, ἢ φωνηέντων καὶ ἀφώνου, ἢ φωνήεντος καὶ ἀφώνων. Ὁ δὲ Διονύσιος λέγει τὸν ὅρον τοῦτον τῆς συλλαβῆς τὸν δηλοῦντα κυρίως εἶναι συλλαβὴν τὴν συλλαμβάνουσαν σύμφωνα καὶ φωνήεντα, καὶ λέγει συλλαβὴν εἶναι σύλληψιν συμφώνων μετὰ φωνήεντος ἢ φωνηέντων (ἡ γὰρ σύν πρόθεσις δυάδος ἐστὶ κατήγορος), ἀπὸ τῆς λήψεως [ἤτοι τῆς συλλαβῆς] καὶ συλλήψεως καὶ κράσεως δηλονότι 〈τῶν συμφώνων καὶ〉 τῶν φωνηέντων· διὰ γὰρ τούτων συνίσταται πᾶσα συλλαβή. Ἡ δὲ ἐξ ἑνὸς φωνήεντος οὐκ ἂν εἴη κυρίως συλλαβή, ἀλλὰ καταχρηστικῶς, τουτέστι καταχρηστικώτερον εἴρηται καὶ ἡ ἐξ ἑνὸς φωνήεντος 〈συλλαβή〉 . Εἰ δὲ ἀκριβῶς τις ἐπισκέψαιτο etc. = Σ d 48, 7—49, 8. Εἰ δὲ εἴποις, ὡς οὐχ ὑποπίπτουσιν αἱ μονογράμματοι συλλαβαὶ τῷ ὅρῳ—σύλληψιν γὰρ οὐκ ἔχουσιν—μάνθανε ὡς ἀπὸ τοῦ πλεονάζοντός ἐστιν ὁ ὅρος· ἄπειροι γὰρ αἱ σύλληψιν ἔχουσαι, ὀλίγαι δὲ καὶ ἑπτὰ μόναι αἱ μονογράμματοι, ὅσα καὶ τὰ φωνήεντα· καὶ εἴωθε τὸ πλέον ἐπικρατεῖν πάντοτε· καὶ δεῖ τὴν μὲν κυρίως, τὴν δὲ καταχρηστικῶς καλεῖν συλλαβήν.

345 Καλῶς οὖν ἠτυμολόγησε τὴν συλλαβὴν εἰπὼν σύλληψιν. Χρὴ γινώσκειν, ὅτι ἡ συλλαβὴ ἀπὸ μονογραμμάτων ἕως ἑξαγραμμάτων προκόπτει, καὶ περαιτέρω οὐδαμῶς, οἷον α βα στα στρα στρου στράγξ· καὶ γὰρ τέλειος ἀριθμὸς ὁ ἕξ, ὡς ἔχων ἀπηρτισμένα καὶ ὑγιῆ ἑαυτοῦ τὰ μέρη ἐξ ὧν συνέστηκε· τὸ γὰρ ἥμισυ τῶν ἓξ τρία, καὶ τὸ τρίτον δύο, ἰδοὺ πέντε, καὶ τὸ ἕκτον ἕν· τῶν τοίνυν μερῶν αὐτοῦ ὑγιῶν ὄντων εἰκότως προτετίμηται τοῖς ἀριθμηταῖς καὶ τέλειος ἐκλήθη· ταύτῃ τοι καὶ τὸ ἡρωικὸν μέτρον προτετίμηται τῶν ἄλλων, ἐπειδὴ ἑξάμετρόν ἐστιν. Ὅσοι γοῦν

ἑπταγράμματόν φασιν εἶναι συλλαβήν, βιαζόμενοι τὸ στράγξ πταίουσιν, ἐπειδὴ καὶ χρῆσιν οὐκ ἔχουσι καὶ ὑπὸ λόγου κωλύονται· οὐδέποτε γὰρ συλλαβὴ εἰς δύο σύμφωνα λήγουσα διφθόγγῳ παραλήγεται· καὶ ὅτι ἑξαγράμματον μὲν εὑρίσκομεν συλλαβὴν ἐν μέσῳ λέξεως, ὡς ἐν τῷ αἰσχρουργός, ἑπταγράμματον δὲ οὐδέποτε. —Πάλιν τε ἰστέον, ὡς πᾶσα συλλαβὴ εἰς δύο σύμφωνα λήγουσα τελικὸν ἔχει ἢ τὸ ξ ἢ τὸ ς , παρατέλευτον δὲ ἓν τῶν ἀμεταβόλων· καὶ κατὰ τοῦτον τὸν λόγον οὐκ ἂν εἴποις τῆς ἀρνός γενικῆς εὐθεῖαν εἶναι τὴν ἄρν, ἀλλὰ τὴν ἄρην, εἶτα ἄρενος τὴν γενικήν, καὶ κατὰ συγκοπὴν ἀρνός. Πῶς οὖν ἐν τῷ Σφίγξ καὶ στράγξ, εἰ τελικὸν τὸ ξ , οὐ παραλήγεταί τι ἀμετάβολον; Ῥητέον ὅτι τὸ ξ ἐπενεχθὲν ἔτρεψε τὸ ν εἰς τὸ γ . —Ἰστέον δὲ καὶ ὅτι πᾶσα συλλαβὴ ἀπὸ τριῶν ἀρχομένη συμφώνων τὸ μὲν δεύτερον ἄφωνον ἔχει, τὸ δὲ τρίτον ἀμετάβολον, οἷον σκῆπτρον ἰσχνός. Εὐλόγως οὖν ἐν τῷ τέτυπται διὰ μετοχῆς ἐκφέρομεν τὸ πληθυντικὸν τρίτον πρόσωπον, μὴ δυνάμενοι πρὸ τοῦ τ θεῖναι τὸ ν , ὡς ἐπὶ τοῦ νενόηται νενόηνται, διὰ τὸν προειρημένον κανόνα, ᾧ πειθόμενοι οὐκ ἂν ζητήσαιμέν ποτε ἐν τῷ τέτυπται προσθέσει τοῦ ν ποιῆσαι τὸ πληθυντικὸν τρίτον πρόσωπον, καὶ ἀποτελέσαι συλλαβὴν διὰ τοῦ πντ ἐκφερομένην, ὅπερ ἄτοπον. —Πάλιν ἰστέον ὡς πᾶσα συλλαβὴ ἀπὸ φωνήεντος ἀρχομένη καὶ τὴν πρὸ αὐτῆς ἔχει εἰς φωνῆεν λήγουσαν, οἷον θεός· καὶ κατὰ τοῦτον τὸν λόγον οὐ δύναται τοῦ χηναλώπηξ τὸ ν τῆς πρώτης συλλαβῆς εἶναι καταληκτικόν, ἀλλὰ τῆς δευτέρας ἀρκτικόν. Καὶ τοῦτο δὲ ἰστέον ὅτι πᾶσα συλλαβὴ εἰς σύμφωνον λήγουσα καὶ τὴν ἑξῆς ἔχει ἀπὸ συμφώνου ἀρχομένην. —Γνωστέον δὲ καὶ τοῦτο, ὅτι συλλαβὴ μὲν ἡ μεγίστη γραμμάτων ἕξ, ὡς τὸ στράγξ, ὄνομα δὲ τὸ μέγιστον συλλαβῶν ἕξ, οἷον Ἀγαμεμνονίδης· τούτου γὰρ μεῖζον οὐκ ἔστι, πλὴν εἰ μὴ ἐκ διαφόρων εἴη συντεθέν· μέτρον δὲ τὸ τέλειον ποδῶν ἕξ· τέλειος γὰρ ὁ ἓξ ἀριθμός, καθὼς καὶ Εὐκλείδης ἐν τοῖς ἀριθμητικοῖς ὡρίσατο εἰπών 〈VII ὅρος κγʹ; Prot.

346 IX 36〉 «τέλειος ἀριθμὸς ὁ τοῖς ἑαυτοῦ μέρεσιν ἴσος»· ἐξ ὧν καὶ ὁ ἓξ συμπλέκεται. Ἔστι δὲ τὸ τέλειον μέγεθος τῆς συλλαβῆς, ὡς προείρηται, μέχρις ἓξ γραμμάτων, τὸ δὲ ἐλάχιστον ἕως ἑνός, οἷον στράγξ στρου στρα βους καρ βαα · ἔστι δὲ Κάρ etc. = Σ v 205, 7—11. 〈Heliodori.〉 —Οἱ δὲ ὡρίσαντο οὕτως· «συλλαβή ἐστι συμπλοκὴ στοιχείων κατάλληλος ὑφ’ ἕνα τόνον καὶ ἓν πνεῦμα ἀδιαστάτως ἀγομένη». Ἄλλοι δὲ ὧδε· «συλλαβή ἐστι συμπλοκή στοιχείων κατάλληλος μετὰ φωνήεντος ἢ φωνηέντων χηρεύουσα νοῦ». Πάλιν δέ, ὡς προείπομεν, μέγεθος συλλαβῆς ἀπὸ μονογραμμάτου ἕως ἑξαγραμμάτου, ὡς ὁ στίχος ἕως ἓξ ποδῶν διὰ τὸν χρησμόν· «ἑξαμέτρων ἐπέων μέτρα μείζονα μηδένα τίκτειν». Τρύφων δὲ ἐβούλετο καὶ ἑπταγράμματον λέξιν δεῖξαι ἤγουν συλλαβήν, τὴν στράγξ διὰ τῆς ᾳ διφθόγγου γράφων· ᾧ μάχεται καὶ ἡ χρῆσις καὶ ἡ ἀναλογία· οὐδὲν γὰρ ὄνομα εἰς δύο σύμφωνα λῆγον δίφθογγον ἔχει πρὸ αὐτῶν, οἷον ἅλς Τίρυνς σάρξ ζόρξ, οὐδὲ συγκοπέν, οἷον μάκαρς περίηρς παρὰ Ἀλκμᾶνι 〈fragm. 149 B 4 〉 · πίστις δὲ τοῦ λόγου τὸ Αἰολικὸν χέρς, ὃ χείρ γεγονὸς ἐξέβαλε μὲν τὸ ς , προσέλαβε δὲ τὸ ι . Οὐδέποτε δὲ συλλαβὴ εἰς τρία σύμφωνα λήγει, ἀλλ’ εἰς δύο, ἄρχεται δὲ ἔσθ’ ὅτε ἀπὸ τριῶν. Οὐδεμία δὲ συλλαβὴ ἐκ τριῶν φωνηέντων συνίσταται· διὸ 〈ἐν τῷ〉 Σιμόεις Σιμοῦς τὸ ι ἀποπίπτει. Ἐὰν εἰς σύμφωνον λήγῃ συλλαβή, τὸ ζ τῆς ἑξῆς ἀρκτικὸν οὐκ ἔσται, εἰ μὴ βάρβαρος εἴη λέξις, οἷον Ἀριοβαρζάνης, ἢ σύνθετος, ὡς τὸ μελάνζοφος παρὰ Σιμωνίδῃ 〈ubi?〉 . Ἰστέον ὅτι τῶν συλλαβῶν αἱ μέν εἰσι μακραί, αἱ δὲ βραχεῖαι, αἱ δὲ κοιναί. Καὶ χρὴ γινώσκειν, ὅτι τὴν πρὸς ἄλληλα δέχονται σχέσιν· καὶ τὸ μὲν μακρὸν πρὸς τὸ βραχὺ ἔχει τὴν σχέσιν, τὸ δὲ βραχὺ πρὸς τὸ μακρόν, ἡ δὲ κοινὴ τῶν πρός τί ἐστι καὶ πρὸς τὰς ἄλλας δύο ἔχει τὴν σχέσιν· μακρᾶς γὰρ καὶ βραχείας μετέχουσα εἴρηται 〈κοινή〉 , ὥσπερ φαμὲν οἶκον κοινὸν δύο ἀδελφῶν. § 8 (9b). Περὶ μακρᾶς συλλαβῆς. Τί ἐστι μακρὰ συλλαβή; Ἡ ἔχουσα μακρὸν φωνῆεν ἢ μηκυνόμενον, ἢ μίαν τῶν διφθόγγων, ἢ δίχρονον ἐκτεταμένον, ἢ φωνῆεν βραχὺ ἢ βραχυνόμενον διπλοῦ ἐπερχομένου ἢ δύο συμφώνων. Ποῖόν ἐστι τὸ βραχὺ καὶ ποῖον τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βραχυνόμενον; Τὸ ε καὶ τὸ ο βραχέα, βραχυνόμενον δὲ λέγεται τὸ α ι υ τὰ συστελλόμενα δίχρονα.

347 Κατὰ πόσους τρόπους γίνεται ἡ μακρὰ συλλαβή; Κατὰ ὀκτώ, φύσει μὲν τρεῖς, θέσει δὲ πέντε· καὶ φύσει μὲν ἤτοι ὅταν διὰ τῶν μακρῶν στοιχείων ἐκφέρηται, οἷον ἥρως, ἢ ὅταν ἔχῃ μίαν τῶν διφθόγγων, οἷον Αἴας, ἢ ὅταν ἔχῃ ἕν τι τῶν διχρόνων κατὰ ἔκτασιν παραλαμβανόμενον, οἷον Ἄρης, ὡς τὸ 〈E 31. 455〉 Ἆρες Ἄρες, βροτολοιγέ, μιαιφόνε, τειχεσιπλῆτα. 〈Heliodori.〉 — Μακρὰ συλλαβὴ γίνεται κατὰ τρόπους ὀκτ ώ.] Ἡ μακρὰ συλλαβὴ γίνεται κατὰ ὀκτὼ μετασχηματισμοὺς καὶ τρόπους ῥυθμῶν. Φαίνεται δὲ ὁ τεχνικὸς ὡς ἐκ τοῦ πλεονάζοντος εἰπὼν τὸ «γίνεται»· ὀλιγάκις μὲν γὰρ ἔστιν ἡ μακρὰ συλλαβή, πολλαχῶς δὲ γίνεται. Καὶ «φύσει μὲν τρεῖς, θέσει δὲ πέντε». Ἀπὸ κοινοῦ δεῖ λαμβάνειν 〈τὸ «κατὰ〉 τρόπους», ἵν' ᾖ ὁ λόγος οὕτω· φύσει μὲν καὶ ἀληθείᾳ κατὰ τρόπους τρεῖς, θέσει δὲ καὶ ἐπιτεχνήσει κατὰ τρόπους πέντε μακρὰ συλλαβὴ γίνεται. «Καὶ φύσει μὲν ἤτοι ὅταν» ἕως τοῦ «οἷον Αἴας.» Τρεῖς εἰσι τρόποι τῆς φύσει μακρᾶς, πρῶτος μὲν ὁ διὰ τῶν μακρῶν, δεύτερος δὲ ὁ διὰ τῶν διχρόνων, τρίτος ὁ διὰ τῶν διφθόγγων. Οὐχ ὡς ἔτυχε δὲ ὁ τεχνικός etc. = Σ v 205, 16—206, 9. 〈Heliodori.〉 —Ἐζήτησαν δέ τινες λέγοντες, εἰ τὰ δίχρονα ἀμφίβολον ἔχουσι τὸν χρόνον πότερον αὐτὸν ἐκτεταμένον ἔχουσιν ἢ οὔ, αἱ δὲ δίφθογγοι ἀναμφιβόλως μακραὶ τυγχάνουσι, πῶς καὶ διὰ τί προέταξεν ὁ τεχνικὸς τὰ ἀμφίβολα τῶν ἀναμφιβόλων; Πρὸς οὓς ἀπολογούμενοί τινες εἰρήκασιν, ὅτι διὰ τοῦτο προετάγησαν τὰ δίχρονα τῶν διφθόγγων, καθὸ τὰ μὲν δίχρονα οὐκ ἐκ συνθέσεως ἀλλ' ἐκ φύσεως ἔχουσι τὸ μακρόν, αἱ δὲ δίφθογγοι οὐκ ἐκ φύσεως ἀλλ' ἐκ συνθέσεως· πολὺ δὲ κρείττω τὰ ἐκ φύσεως τὸ μακρὸν ἔχοντα τῶν ἐκ συνθέσεως. Καὶ πάλιν εἰ τὰ δίχρονα ποτὲ μὲν ἐκτείνεται, ποτὲ δὲ συστέλλεται, πῶς φύσει μακρὰ αὐτὰ εἶπε; Πρὸς οὓς πάλιν οἱ αὐτοὶ οὕτως ἀπελογήσαντο, ὡς ἐξ ἀρχῆς μὲν ἔσχον ἐκ φύσεως τὸ ἐκτείνεσθαι καὶ συστέλλεσθαι, οὐ κατὰ ταὐτὸν δέ, ἀλλὰ ποτὲ μὲν ἐκτείνεσθαι, ποτὲ δὲ συστέλλεσθαι· καὶ οὐκ ἄτοπον ἐν μὲν τῇ ἐκτάσει 〈φύσει〉 μακρὰ αὐτὰ λέγειν, ἐν δὲ τῇ συστολῇ φύσει βραχέα, ὥς που καὶ τὸν Ἀπόλλωνα ποτὲ μὲν Πύθιον ἀπὸ τοῦ πύθειν ἤγουν σήπειν λέγομεν, ποτὲ δὲ κουροτρόφον· ἀλλὰ κουροτρόφον μὲν προσαγορεύομεν, ἐφ' ὅσον τὴν θρεπτικὴν αὐτοῦ δύναμιν ἐνδεικνύμενον περὶ τὴν ἡλικίαν τῶν παίδων θεώμεθα, ὅταν δὲ τὴν φθαρτικὴν ἔχοντα καὶ μηκέτι τὴν ἑτέραν ἐνδεικνύμενον, Πύθιον αὐτόν φασιν εἶναι. Ζητεῖται δέ, εἰ ἔξεστι τὰ δίχρονα διὰ παντὸς ἐκτείνειν, ὡς καὶ τὰς διφθόγγους.

348 Καὶ λεκτέον etc. = Σ v 206, 15—207, 2. Καὶ εἴποι ἄν τις χαριέντως καταν. etc. = Σ d 49, 15—50, 10. 〈Heliodori.〉 — Ἢ ὅταν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται δύο σύμφων α , οἷον ἀγρό ς.] Ὁ δεύτερος, φησί, τρόπος τῆς θέσει μακρᾶς συλλαβῆς δείκνυται, ὅταν βραχεῖ ἢ βραχυνομένῳ διχρόνῳ—τοῦτο γὰρ λείπει—ἐπιφέρηται τῆς ἑξῆς συλλαβῆς δύο σύμφωνα, οἷον ἀγρός Ἕκτωρ· «βραχεῖ» δὲ εἶπεν ἢ τῷ ε ἢ τῷ ο , «βραχυνομένῳ» δὲ ἑνὶ τῶν διχρόνων. Ἀντιλέγουσι δέ τινες ἐνταῦθα λέγοντες, ὅτι οὐκ ἔστιν αὕτη ἐπιφορὰ δύο συμφώνων, ἀλλὰ κατάληξίς τε καὶ ἐπιφορά· διὰ τί γὰρ μὴ ἐν τῷ ἀγρός ἡ πρώτη συλλαβὴ εἰς γ λήγει, καὶ τὸ ρ τῆς ἑτέρας ἀρκτικόν; Πρὸς οὓς λέγομεν, ὅτι τεχνικὸς λόγος κωλύει ἐν τῷ Ἕκτωρ καὶ ἐν τῷ ἀγρός ἐπιφέρεσθαι τὰ σύμφωνα κατὰ λῆξιν καὶ ἐπιφοράν· φησὶ γὰρ οὗτος· τὰ τινῶν προηγούμενα κατὰ σύλληψιν οὐκέτι τῶν αὐτῶν προηγεῖται κατὰ διάστασιν· οἷον προηγήσατο τὸ κ τοῦ ρ ἐν τῷ «κρῖ λευκόν» καὶ ἐν τῷ κρήδεμνον κατὰ σύλληψιν, καὶ οὐκέτι προηγεῖται αὐτοῦ κατὰ διάστασιν ἐν τῷ ἄκρος Τεῦκρος· καὶ 〈ἐν〉 τῷ γρυπός καὶ ἐν τῷ γραῦς προηγεῖται τὸ γ τοῦ ρ κατὰ σύλληψιν, καὶ οὐκέτι προηγεῖται αὐτοῦ κατὰ διάστασιν ἐν τῷ ἀγρός λυγρός· καὶ πάλιν τὰ προηγούμενα τινῶν κατὰ σύλληψιν τούτοις οὐδέποτε ὑποτάσσεται κατὰ σύλληψιν, ἀλλὰ κατὰ λῆξίν τε καὶ ἐπιφοράν· οἷον ἐν τῷ τρόπος προηγήσατο τὸ τ τοῦ ρ κατὰ σύλληψιν, καὶ οὐκέτι ὑποτάσσεται αὐτῷ κατὰ σύλληψιν, ἀλλὰ κατὰ λῆξιν καὶ ἐπιφοράν, ὡς ἐν τῷ ἄρτος κέκαρται.

Σαφῶς τοίνυν ἐν οἷς ὁρᾶται τὸ γ τοῦ ρ προηγούμενον κατὰ σύλληψιν ἐν τῷ Γραικός καὶ τῷ γραφεύς, ἐν τούτοις οὐκέτι αὐτοῦ τοῦ ρ προηγεῖται τὸ γ κατὰ διάστασιν, ὡς ἐν τῷ ἀγρός καὶ τοῖς ὁμοίοις· καὶ ἅπαξ προηγήσατο τὸ γ τοῦ ρ κατὰ σύλληψιν, καὶ οὐκέτι τούτῳ ὑποτάσσεται κατὰ σύλληψιν, ἀλλὰ κατὰ λῆξίν τε καὶ ἐπιφοράν, ὡς ἐν τῷ ἀργός Ἀργειφόντης. Ἢ ὅταν εἰς ἁπλοῦν σύμφωνον λήγῃ etc. = Σ v 207, 10—208, 6. § 9 (10b). Περὶ βραχείας συλλαβῆς. Τί ἐστι βραχεῖα συλλαβή; Ἡ ἔχουσα βραχὺ φωνῆεν μὴ ἐκτεινόμενον κατὰ κοινὴν συλλαβήν. Κατὰ πόσους τρόπους γίνεται ἡ βραχεῖα συλλαβή; Κατὰ δύο· κατὰ βραχεῖαν συλλαβὴν τὴν ἔχουσαν φύσει βραχὺ φωνῆεν, οἷον βρέφος λόγος· ἢ ὅταν ἔχῃ ἕν τι τῶν διχρόνων κατὰ συστολὴν παραλαμβανόμενον, οἷον Ἄρης. Πόθεν συλλαβή; Ἐκ τῆς σύν προθέσεως καὶ τοῦ λήβω, ὃ δηλοῖ τὸ λαμβάνω· καὶ ὤφειλε γράφεσθαι διὰ τοῦ ν , ἀλλὰ πᾶσα συλλαβὴ εἰς ν λήγουσα, ἐὰν συντεθῇ μεθ' ἑτέρας συλλαβῆς ἀρχομένης ἀπὸ τοῦ λ ἢ ρ ἢ ς , εἰς αὐτὸ τρέπει τὸ ν , οἷον συλλαβή συρράπτω σύσσωμος.

349 〈Heliodori.〉 —Βραχεῖά ἐστι συλλαβὴ ἡ ἔχουσα βραχὺ φωνῆεν ἢ βραχυνόμενον, μὴ ἐπὶ τέλους λέξεως, οὕτως ὡς μεταξὺ αὐτῆς καὶ τοῦ ἑξῆς φωνήεντος μὴ ὑπάρχειν πλείονα σύμφωνα ἢ ἓν ἁπλοῦν, ἀλλ' ἤτοι ἓν 〈ἁπλοῦν〉 ἢ μηδὲ ἕν· πρόσκειται «μὴ ἐπὶ τέλους λέξεως» διὰ τὰς κοινὰς συλλαβὰς καὶ θέσει μακράς· ἐν γὰρ τῷ 〈Ξ 1〉 Νέστορα δ ' οὐκ ἔλαθεν καὶ ἐν τῷ 〈Φ 352〉 τὰ περὶ καλὰ ῥέεθρα ἐπὶ τέλους οὖσαι ἡ θεν καὶ ἡ τά κοιναὶ προσηγορεύθησαν. Ἁπλῆ γοῦν τίς ἐστιν ἡ βραχεῖα συλλαβή, καὶ οὐ πολλῶν δεῖται λόγων περιπλοκῆς, καθάπερ ἡ μακρὰ συλλαβή. Γίνεται γὰρ κατὰ τρόπους δύο· ἢ γὰρ φύσει βραχέα ὄντα τὰ φωνήεντα τὰς συλλαβὰς βραχύνει, ἢ βραχυνόμενα τὰ δίχρονα, οὐ χύδην, ἀλλά, καθάπερ καὶ ἐν τῷ περὶ μακρᾶς συλλαβῆς εἰρήκαμεν, τῇ χρήσει προσανέχοντες τῶν ποιητῶν. § 10 (11b). Περὶ κοινῆς συλλαβῆς. Τί ἐστι κοινὴ συλλαβή; Ἡ ὑποκειμένη ταῖς δύο συλλαβαῖς, τῇ τε μακρᾷ καὶ τῇ βραχείᾳ. Ἄλλως· κοινή ἐστι συλλαβὴ ἡ ποτὲ μὲν μακρὰ ποτὲ δὲ βραχεῖα λογιζομένη. Διὰ τί οὐχ ὡρίσατο τὴν κοινὴν συλλαβὴν ὁ τεχνικός; Ἐπειδὴ οὐκ ἔστι κοινὴ συλλαβή, ἀλλὰ γίνεται· τῶν γὰρ ὄντων εἰσὶν οἱ ὅροι, οὐ τῶν μὴ ὄντων, ἐπειδὴ ὅρος ἐστὶν ὁ τὸ ὂν σημαίνων τί ἐστιν. 〈Heliodori.〉 —Κοινή ἐστι συλλαβὴ δυνάμει ἀμφίδοξος, ποτὲ μὲν ἀντὶ μακρᾶς ποτὲ δὲ ἀντὶ βραχείας παραλαμβανομένη. Οὐ καλῶς δὲ ὅρον αὐτῆς διδόασι, τῶν γὰρ ὄντων οἱ ὅροι, οὐ τῶν γινομένων· ὅρος γάρ ἐστιν ὁ τὸ ὂν τί ἐστι σημαίνων. Ὅτι δὲ οὐκ ἔστιν ἡ κοινὴ συλλαβή, ἀλλὰ γίνεται, δῆλον ἐντεῦθεν· πυνθάνεταί τις τῶν νέων γραμματικοῦ λέγων οὕτως· «πῶς ἂν εἴποι τις, ὦ σοφώτατε, μακρὰν συλλαβήν;» Καί φησιν ἐκεῖνος· «ὥς». «Πῶς δὲ βραχεῖαν;» Καὶ πάλιν ἐρεῖ· «ὅς». Εἰ δὲ ἐπαγάγοι· «κοινὴν δὲ πῶς εἴποι τις ἄν;» οὐκ ἂν τολμήσειεν ὁ γραμματικὸς εἰπεῖν «ἢ αι ἢ οι ἢ η », μακραὶ γάρ εἰσιν αὗται, καὶ κατεχρησάμεθα αὐταῖς ἀντὶ βραχειῶν κατὰ τὸν δέοντα καὶ κατεπείγοντα καιρόν. Οὐ δεῖ τοίνυν τῶν μὴ ὄντων παρέχειν ὅρους ὡς ὄντων. Ἡ γοῦν κοινὴ συλλαβὴ τῶν πρός τι etc. = Σ v 208, 18—23. Κοινὴ συλλαβὴ γίνεται κατὰ τρόπους τρεῖς etc.

350 = Σ d 50, 20—51, 13. 〈Heliodori.〉 —Ῥᾷον μέντοι γίνεται ἡ τοιαύτη κοινή, ἐὰν εἰς μέρος λόγου ᾖ πεπερατωμένη ἡ μακρά· ἡ γὰρ ἀνάπαυσις διαχωρίζουσα τὰς συλλαβὰς τρόπον τινὰ μακρᾷ εὐεπέστερον προσιζάνει. Ἧττον δὲ γενήσεται κοινή, ἐὰν κατὰ τὸ μέσον τῆς λέξεως ἡ μακρὰ πέσῃ, ὡς 〈Theocr. 11, 18〉 παρὰ πόντον ὁρῶν ἄειδε τοιαῦτ α· σπανίως δὲ παρὰ τῷ ποιητῇ, 〈Ν 275〉 οἶ δ ' ἀρετὴν οἷός ἐσσι · τί σε χρὴ ταῦτα λέγεσθα ι; καὶ 〈Π 235〉 ἀνιπτόποδες χαμαιεῦναι, καὶ 〈ξ 15〉 σύες χαμαιευνάδες ἐρχατόωντ ο· καὶ ἴσως διὰ τὸ φαντασίαν τινὰ παρέχειν ἀπηρτίσθαι τὴν λέξιν ἐν τῷ χαμαί ἐχρήσατο τῇ τοιαύτῃ κοινῇ. Ἐὰν δὲ ἐν τῇ υι διφθόγγῳ κοινὴ πέσῃ, τελέως τραχὺν ποιήσει τὸν στίχον ἤγουν τὸν ῥυθμὸν τῶν φθόγγων συνιστῶσα, ὡς ἐν τῷ 〈ex. gr. Η 47〉 Ἕκτο ρ , υἱὲ Πριάμοιο, καὶ 〈Δ 473〉 ἔν θ ' ἔβα λ ' Ἀνθεμίωνος υἱὸν Τελαμώνιος Αἴα ς. Τῇ γοῦν κοινῇ συλλαβῇ κέχρηνται etc. = Σ v 208, 26—209,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

4. Erotemata: de altera ratione communis syllabae; quid sit βραχύ, quid βραχυνόμενον. Ὅταν, φησίν, ἑνὶ τῶν βραχέων etc. = Σ d 51, 18—31. 〈Heliodori.〉 —Ἰστέον δὲ ὡς εἰ μὴ ἔστι τό τε ἡγούμενον ἄφωνον καὶ τὸ ἑπόμενον ὑγρὸν καθ' ἕν, ὅ ἐστι κατὰ σύλληψιν καὶ ἐπιπλοκήν, ἀλλὰ τὸ μὲν λήγοιτο, τὸ δὲ ἐπάγοιτο, μακρὰν ποιεῖ καὶ οὐ κοινήν, οἷον 〈γ 468. ψ 163〉 ἔκ ῥ ' ἀσαμίνθου βῆ δέμα ς. Χρὴ τοίνυν ἄμφω ἀρκτικὰ εἶναι τῆς ἑξῆς· σπεύδουσα γὰρ ἐπὶ τὰ φωνήεντα ἡ προφορὰ ὥσπερ ὑφ' ἕνα τόνον τὴν δύναμιν τῶν δύο συμφώνων ἐκδίδωσιν. «Διὰ τί δὲ δύο ἄφωνα», φασί τινες, «ἢ δύο ὑγρὰ οὐ ποιοῦσι κοινήν;» Φαμὲν πρὸς ταῦτα, ὅτι πάντα τὰ ἴσα κἂν ἐλάσσονα ᾖ τῶν ἀνίσων λίαν εἰσὶν ἰσχυρότερα, ὡς ἐπὶ ζεύγους ἡμιόνου καὶ βοὸς καὶ ζεύγους ἡμιόνων ἀσθενῶν. «Πῶς οὖν», φασί, «τὸ μ καὶ ν κοινὴν ἐποίησαν ἐν τῷ 〈Callim. fr. 27 Sch〉 τὼς μὲν ὁ Μνησάρχειος ἔφη ξένο ς; » Πρὸς ὅ φαμε ν , ὅτι ἄφωνον πρὸ ὑγροῦ τουτέστιν ἀμεταβόλου εὑρίσκομεν κατὰ σύλληψι ν , οὐδέποτε δὲ πρὸ ὑγροῦ ὑγρό ν , εἰ μὴ μόνον τὸ μ 〈πρὸ〉 τοῦ ν , ὅπερ ὡς ἀφώνου τάξιν ἐπέχον κοινὴν ποιε ῖ , τὼς μὲν ὁ Μνησάρχειος ἔφη ξένος, 〈ὥσ〉 φησιν ὁ Καλλίμαχος.

351 Πῶς οὖν πάλιν καὶ τοὐναντίον τὸ πτ κοινὴν ἐργάζεται, ὡς ἐν τῷ 〈δ 229〉 Αἰγυπτί η , τῇ πλεῖστα φέρε ι;» Πρὸς ὃ πάλιν φαμέν, ἐπειδὴ ἄμφω ἄγαν εἰσὶν ἀσθενῆ· οὐ μόνον γὰρ ἄφωνα τυγχάνουσιν, ἀλλὰ καὶ ψιλά, ἅπερ πάντων τῶν στοιχείων ὑπάρχουσιν ἀσθενέστερα· εὑρίσκονται γὰρ ἐν συμφώνοις, ἅπερ ἥττονά ἐστι τῶν φωνηέντων, συναριθμούμενα, καὶ ἄφωνα, ἅπερ ἀσθενέστερά εἰσι τῶν ἡμιφώνων· ὁρῶνται καὶ ἐν ψιλοῖς, ἅπερ ἰσχνότερά εἰσι τῶν δασέων καὶ τῶν μέσων. «Πῶς οὖν», ἐπάγουσι, «πάλιν τὸ σκ κοινὴν εἰργάσατο, ὡς ἐν τῷ 〈Φ 305〉 οὐδὲ Σκάμανδρος ἔληγεν, καὶ τὸ ζ διπλοῦν ὂν ἐν τῷ 〈Β 634〉 οἵ τε Ζάκυνθον ἔναιο ν;» Πρὸς οὕς φαμεν, ἐπειδὴ ἀνάγκην ἦν πάντως τὰ ὀνόματα ἐντεθῆναι τῇ ποιήσει, ἃ πάντως ἐντιθέμενα χωλὸν εἰργάζετο τὸν στίχον· καὶ διὰ τὸ χρειῶδες μέτρου κατεφρόνησεν ὁ ποιητής. Τῶν δὲ τὴν βραχεῖαν εἰς μακρὰν ἀναφ. etc. = Σ d 52, 1—56, 14. Ἢ ὅταν βραχεῖα οὖσα καταπεραιοῖ etc. = Σ v 209, 19—30. 〈Heliodori.〉 —Ὁ γὰρ τρίτος τρόπος τῆς κοινῆς συλλαβῆς οὗτος, ὅταν βραχεῖα οὖσα ἀπαρτίζῃ εἰς μέρος λόγου καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην· ὑπόδειγμα δὲ τούτου τὸ 〈Ξ 1] Νέστορα δ ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπη ς· τὸ γὰρ θεν ια δάκτυλος οὕτω γίνεται, ὅτι βραχεῖα οὖσα ἡ θεν συλλαβὴ ἀπήρτισεν εἰς μέρος λόγου καὶ τὴν ἑξῆς ἔχει—ἀπὸ φωνήεντος ἀρχομένην τοῦ ι , καὶ κατὰ μὲν τὸν λόγον τοῦτον μακρά· βραχεῖα δέ, ὅτι τὸ ε βραχύ ἐστι φύσει. Ἡρωδιανῷ δὲ καὶ Ἡλιοδώρῳ ἀρκέσει οὐ μόνον οὗτος ὁ τρόπος· ἀλλὰ κἂν ἀπὸ ἀμεταβόλου ἄρχηται ἡ ἑξῆς συλλαβή, ὡς τὸ 〈Π 358〉 Αἴας δ ' ὁ μέγας αἰὲν ἐ φ ' Ἕκτορι χαλκοκορυστ ῇ· καὶ γὰρ ο μεγας ἔχει μὲν τὸ ο ἀπαρτίσαν εἰς μέρος λόγου, ἄρθρον γάρ ἐστι τὸ ὁ, τὴν δὲ ἑξῆς ἀπὸ ἀμεταβόλου ἀρχομένην τοῦ μ . Ἄλλοι δέ φασιν, ὅτι ἐν τοῖς τοιούτοις ἔπεσιν, ἐν οἷς ἀμετάβολον εὑρίσκεται, ἀναδιπλασιάζειν τὸ ἀμετάβολον δεῖ, ὡς τὸ 〈ex. gr. Γ 424〉 φιλομμειδή ς. Πρὸς δὲ τοῦτο ἐκεῖνο ῥητέον, ὅτι τοῦτο αὐτὸς ὁ ποιητὴς ἀνεδιπλασίασε καθ' ἕτερον λόγον, δηλονότι ἀνεδιπλασίασεν αὐτό, καθὸ οὐκ ἀπήρτισεν εἰς μέρος λόγου, διὰ τὸ μέτρον· καὶ πάλιν τοῦ 〈ex. gr. Θ 440〉 ἐννοσίγαιος ἀνεδιπλασίασε τὸ ν , ἐνοσίγαιος γὰρ ἦν δι' ἑνὸς ν , ἔνοσις γὰρ ἡ κίνησις, καὶ ἐνοσίγαιος ὁ τὴν γῆν κινῶν. Καὶ πάντα γοῦν τὰ τοιαῦτα ὅσα οὐκ ἔχει ἀπηρτισμένην εἰς μέρος λόγου τὴν βραχεῖαν, τὴν δὲ ἑξῆς συλλαβὴν ἀπὸ ἀμεταβόλου ἀρχομένην, ὁ ποιητὴς ἀνεδιπλασίασεν, ὡς 〈ex.
352 gr. Ε 83〉 ἔλ〈λ〉αβε πορφύρεος θάνατο ς· καὶ τὰ ἄλλα δὲ σύμφωνα ἀναδιπλασιάζει πρὸς τὸ μέτρον. Στεφάνο υ. —Δεῖ γινώσκειν ὅτι etc. = Σ v 211, 8—16. Διὰ τί λέγεται κοινὴ συλλαβή; Ἐκ μεταφορᾶς τῶν κοινῶν πραγμάτων· ὡς γὰρ κοινὸς οἶκος λέγεται οὗ μετέχουσι δύο τινὰ πρόσωπα, οὕτω καὶ ἡ κοινὴ συλλαβὴ [ἢ] διὰ τὸ τοῖς χρόνοις ἀμφοτέροις ὑπηρετεῖν, τῷ τε μακρῷ καὶ τῷ βραχεῖ, ἐπειδὴ πᾶσα συλλαβὴ ἢ μακρά ἐστιν ἢ βραχεῖα· καὶ διὰ τοῦτο τῇ κοινῇ συλλαβῇ παρεχώρησεν. Τί ἐστι συνεκφώνησις; Συνεκφώνησίς ἐστιν ὅταν δύο συλλαβαὶ μὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σύμφωνον μεταξὺ ἀλλήλων ἔχουσαι ἀντὶ μιᾶς παραλαμβάνωνται. Τί διαφέρει συνεκφώνησις συναλ 〈ο〉 ιφῆς καὶ συναιρέσεως; Ὅτι ἡ μὲν συναλ 〈ο〉 ιφὴ καὶ ἡ συναίρεσις ὡς λέγεται καὶ φαίνεται, ἡ δὲ συνεκφώνησις ἐντελῶς μὲν λέγεται, κατὰ κρᾶσιν δὲ φαίνεται. Ὅταν φωνηέντων γένηται ἐπάλληλος προφορά etc. = Σ v 210, 9 —211, 3. § 11 (12. 13b). Περὶ λέξεως. Τί ἐστι λέξις; Μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου. Ποίου λόγου; Τοῦ συντεταγμένου καὶ παρατιθεμένου διανοίαις πολλαῖς καὶ πλείστοις νοήμασιν. —Καὶ ἄλλως. Τί ἐστι λέξις; Φωνὴ ἐλαχίστη μέρος λόγου παριστῶσα. —Ποσαχῶς αἱ λέξεις; Τριχῶς· αἱ μὲν γὰρ αὐτῶν εἰσι κοιναί, αἱ δὲ ποιητικαί, αἱ δὲ κατὰ διάλεκτον· ὁ δὲ τὴν γραμματικὴν ἠκριβωκὼς ἐξελληνίζειν σαφηνίζει τὰ τοιαῦτα γλωττημα[ν]τικὰ καὶ διακρίνει μίαν ἑκάστην διάλεκτόν τε καὶ γλῶσσαν ἀπὸ τῶν λοιπῶν, καὶ ἀνάγει ταύτην τὴν γλῶτταν εἰς τὴν οἰκείαν καὶ ἰδίαν ἑκάστην αὐτῶν διάλεκτον. —Διὰ τί μετὰ τὰς συλλαβὰς περὶ λέξεως ἤρξατο ὁ τεχνικός; Ἐπειδὴ 〈ἔσθ’ ὅτε〉 τὸ στοιχεῖον συνεμπίπτει τῇ συλλαβῇ, ἡ δὲ συλλαβὴ τῇ λέξει, ἡ δὲ λέξις τῷ λόγῳ. —Ποῖαι καλοῦνται κυρίως λέξεις; Αἱ ἔχουσαί τι λεκτὸν ἐν αὐταῖς ἤτοι σημαντικόν. —Διὰ τί περὶ στοιχείου πρῶτον ὁ τεχνικὸς ἔγραψεν, εἶτα περὶ συλλαβῆς, εἶτα περὶ λέξεως; Ὅτι κατὰ τὸν ἀναλυτικὸν τῆς διδασκαλίας τρόπον τὴν τέχνην ἐξέθετο τῆς γραμματικῆς· ὁ δὲ ἀναλυτικὸς τὰ τῇ φύσει πρῶτα προεκτίθησι, καὶ οὕτως ἀνίησι πρὸς τὰ τῇ φύσει ὕστερα. —Πόσοι τρόποι διδασκαλικοί; Τέσσαρες, ὁριστικός, διαιρετικός, ἀποδεικτικὸς καὶ ἀναλυτικός. Διεξελθὼν ὁ τεχν. περὶ τῶν στοιχ. etc. = Σ v 211, 25—212, 1. 〈Heliodori.〉 —Λέξις ἐστὶ φωνὴ ἐγγράμματος ἀμερὴς ἰδίᾳ ῥητὴ καὶ ἰδίᾳ νοητόν τι ἀποτελοῦσα, καθ’ ἕνα τόνον καὶ ἓν πνεῦμα λεγομένη. Προσθείημεν δ’ ἂν ἡμεῖς τῷ ὅρῳ τὸ «ἐλαχίστη», ἵν’ ᾖ οὕτω· «λέξις ἐστὶν ἐλαχίστη φωνὴ ἐγγράμματος ἀμερὴς ἰδίᾳ ῥητὴ καὶ ἰδίᾳ νοητή, ὑφ’ ἕνα τόνον καὶ πνεῦμα ἀγομένη» ἢ λεγομένη ἢ προφερομένη, ἀδιαφόρως γὰρ λεκτέον. Εἰ δέ τις εἴποι, ὡς etc. = Σ v 212, 24—213, 1. Εἴρηται δὲ λέξις ἀπὸ μέλλοντος τοῦ λέξω, ὡς ἕξω ἕξις.

353 Δηλοῖ δὲ τὸ λέγω ἐνταῦθα τρία, τὸ ἀπαγγέλλω, τὸ ἀριθμῶ, τὸ ἐκλέγομαι· λέξις οὖν ἐστιν ἡ σημασίας ἀπαγγελτική, ἢ ἡ πρὸς λόγου σύνταξιν καταριθμουμένη, ἢ ἣν πᾶς ὁστισοῦν ἐκλέγεται μᾶλλον τῆς ἀσήμου φωνῆς. Ἐγγράμματος δὲ φωνή ἐστιν ἀποτέλεσμα τοῦ ἐν ἡμῖν ἐντεθησαυρισμένου πνεύματος. Διαφέρει δὲ σύνταξις συνθέσεως etc. = Σ v 212, 13—23 (ἀποτελ.). Λέξις ἐστὶ μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγο υ.] Τῷ ὅρῳ τούτῳ λείπει τι· εἰ γὰρ ὡς τέλειον αὐτὸν παραλάβοιμεν, εὑρίσκεται καὶ τὸ ἓν γράμμα καὶ ἡ μία συλλαβὴ λέξις οὖσα· μέρος γάρ ἐστιν ἐλάχιστον τοῦ λόγου καὶ ἑκάστη συλλαβὴ καὶ ἕκαστον γράμμα. Δῆλον οὖν ὡς κακῶς ὡρίσατο, ταὐτὸν γάρ ἐστι τῷ στοιχείῳ· ἀλλ’ ἔδει αὐτὸν ἀνελλιπῶς ὁρίσασθαι καὶ εἰπεῖν «μέρος ἐλάχιστον διανοίας τοῦ κατὰ σύνταξιν λόγου». Καὶ λέγομεν ὅτι ὡς ἐν εἰσαγωγῇ τὰ ποικίλα ἐκφεύγει· τῷ γὰρ εἰσαγομένῳ ζητήματα μυρία ἀπήντα περὶ διακρίσεως καὶ συντάξεως λόγου καὶ διανοίας. Ἢ οὕτως· «μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου νοητόν τι σημαῖνον·» ἰδοὺ ἡ προσθήκη οὐκέτι συγχωρεῖ ὑπονοεῖσθαι τὴν συλλαβὴν ἢ τὸ γράμμα ὡς λέξιν· οὐδὲ γὰρ νοητόν τι σημαίνουσιν, ὑπεξαιρουμένων τῶν μονοσυλλάβων καὶ μονογραμμάτων λέξεων· ἐκεῖναι δὲ οὐ διὰ τὸ μονογράμματοι εἶναι νοητόν τι σημαίνουσιν, ἀλλὰ διὰ τὸ ἐν ταῖς λέξεσι κατατετάχθαι τοῦ κατὰ σύνταξιν 〈ἤτοι〉 τοῦ ἐν δεούσῃ καὶ πρεπούσῃ τάξει προφερομένου λόγου. Περὶ παθῶν λέξεων Τρύφωνος. Tractatus simillimus est ei, quem R Schneider edidit in libello scholastico gymnasii Duisburgiensis a. 1895, p. 4—13, 4. Περὶ λόγου. Λόγος ἐστὶ πεζῆς λέξεως σύνθεσις διάνοιαν αὐτοτελῆ δηλοῦσ α.] Ἵνα μή τις ἐπιλάβηται etc. = Σ d 57, 1—5. 〈Heliodori.〉 —Ὁ δὲ λόγος πολλαχῶς εἴρηται· ἔστι γὰρ ὁμώνυμος φωνὴ κατὰ πολλῶν σημαινομένων φερομένη. Λέγεται λόγος ὁ ἐνδιάθετος λογισμός, καθ’ ὃν λογικοὶ καὶ διανοητικοί ἐσμεν. Λέγεται λόγος καὶ ἡ φροντίς, ὡς ὅταν λέγωμεν «οὐκ ἔστι λόγου ἄξιος», «οὐ ποιοῦμαι αὐτοῦ λόγον»· καὶ παρὰ Μενάνδρῳ 〈fr. 836

K〉 οὔτε λόγον ὑμῶν οὔ τ ʼ ἐπιστροφὴν ἔχ ω. Λέγεται λόγος καὶ ὁ λογαριασμός, ὡς ὅταν λέγωμεν «ὁ ἡγεμὼν πρὸς τοὺς ἑαυτοῦ ἐπιτρόπους λόγον ἔχει».

354 Λέγεται λόγος καὶ ἡ ἀπολογία, ὃν τρόπον λέγομεν «ἔδωκε περὶ τούτου λόγον». Λέγεται λόγος 〈καὶ〉 ὁ καθόλου, ὁ περιέχων ἐν ἑαυτῷ πᾶσαν λέξιν, καθὸ σημαινόμενον πᾶν μέρος λόγου, ἤτοι ὄνομα, ῥῆμα, μετοχήν, ἄρθρον, ἀντωνυμίαν, πρόθεσιν, ἐπίρρημα, σύνδεσμον. Λέγεται λόγος καὶ ὁ ὅρος, ὡς ὅταν λέγωμεν «ἀπόδος τὸν τοῦ ζῴου λόγον», οἷον «οὐσία ἔμψυχος αἰσθητική». Λέγεται λόγος καὶ ἡ αὐτοτελῆ διάνοιαν τῶν λέξεων δηλοῦσα παράθεσις, τουτέστιν ὁ κατὰ σύνταξιν λόγος, ὡς τὸ «τελείωσον τὸν λόγον», ὃς μερικὸς γίνεται, τουτέστι μονομερὴς καὶ διμερὴς καὶ τριμερὴς καὶ τετραμερὴς καὶ πενταμερὴς καὶ ἑξαμερὴς καὶ ἑπταμερής, ἔστι δ’ ὅτε καὶ ἀπὸ τῶν ὀκτὼ μερῶν συνιστάμενος· μονομερὴς μέν, ὡς τὸ «περιπατῶ, τρέχω, ἔρχομαι, καθέζομαι»· διμερὴς δέ, ὡς τὸ «Σωκράτης διαλέγεται, Πλάτων φιλοσοφεῖ»· τριμερὴς δέ, ὡς τὸ «Δίων δουλεύοντας τύπτει, Θέων μαθητευομένους διδάσκει»· τετραμερὴς δέ, οἷον «Ἀχι〈λ〉λεὺς μὲν ἐμαχέσατο βασιλεύοντι»· πενταμερὴς δέ, ὡς τὸ «Μενέλαος δὲ τῷ ἠδικηκότι ἐμονομάχησεν»· ἑξαμερὴς δέ, οἷον «ἐγὼ μὲν ἔμφοβος τοῖς καθεύδουσι συνηγέρθην»· ἑπταμερὴς δέ, οἷον «ἐκεῖνος δὲ πρὸς τοὺς ἠθροισμένους ἄνδρας διηνέχθη»· ὀκταμερὴς δέ, ὡς ὁ Ὁμήρειος στίχος 〈X 59〉 πρὸς δ ʼ ἐμὲ τὸν δύστηνον ἔτι φρονέον τ ʼ ἐλέαιρ ε· ἕκαστος δὲ τούτων ἐστὶ λόγος [σύνθετος] τέλειος ἔχων σύνθεσιν διάνοιαν αὐτοτελῆ δηλοῦσαν. Λέγεται λόγος καὶ ὁ ἐξ ἀναλωμάτων, ὃς λέγεται καὶ τραπεζιτικός, οὗ μέμνηται καὶ ὁ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς 〈De Chers. § 47〉, τὸν μὲν 〈τῶν〉 χρημάτων λόγον λέγων παρὰ τούτου λαμβάνει〈ν 〉, τὸν δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγο ῦ. Λόγος λέγεται 〈καὶ〉 ὁ γεωμετρικός, οἷον «ὃν ἔχει λόγον τὸ ἡμίπηχυ πρὸς τὸν πῆχυν, τοῦτον ἔχει τὸν λόγον καὶ τὸ δίπηχυ πρὸς τὸ τετράπηχυ». Λόγος καὶ ἡ ἀναλογία, οἷον «ὁ τέτταρα ἀριθμὸς πρὸς τὸν τρία τὸν ἐπίτριτον ἔχει λόγον». Λόγος καὶ τὸ εὔλογον, οἷον «οὐκ ἔξω λόγου τόδε ἐποίησεν», ἀντὶ τοῦ «εὐλόγως». Λόγος καὶ ἡ τῷ προειλημμένῳ ἐπαγομένη ἐπιφορά, τουτέστιν ἐκ λημμάτων καὶ ἐπιφορᾶς, οἷον «ἀνάγκη νυκτὸς οὔσης σκότος εἶναι καὶ ἡμέρας οὔσης φῶς εἶναι»· καὶ ἔστι τοῦτο λῆμμα· «ἀλλαμὴν ἡμέρα ἐστί, φῶς ἄρα ἐστί»· τοῦτο ἐπιφορά, τῷ γὰρ προειλημμένῳ ἐπηνέχθη. Λόγος λέγεται καὶ ἡ λογικὴ κατασκευή, καθό φαμεν τοὺς μὲν ἀνθρώπους ἔχειν λόγον, τὰ δὲ ἄλογα οὔ. Λόγος λέγεται καὶ ἡ δύναμις, ὡς λέγομεν κατὰ φυσικὸν λόγον ὀδοντοφυεῖν τὰ ζῷα καὶ γένεια φέρειν, ἤτοι κατὰ τὰς φυσικὰς καὶ σπερματικὰς δυνάμεις. Λόγος λέγεται καὶ ἡ συμπαρεκτεινομένη φωνὴ τῷ διανοήματι, οἷον τὸ «ἄπελθε»· τοῦτο γὰρ καὶ λέξις, ὅτι τετύχηκε νοῦ, καὶ λόγος, διὰ τὸ ἐντελὲς τοῦ νοήματος τοῦ δηλουμένου.

355 Ἔστι λόγος καὶ ὃ δηλοῖ τὸ αὐτοτελές, καθό τινος εἰπόντος ἐλλιπῶς φαμεν «τελείωσον τὸν λόγον». Λόγος 〈λέγεται〉 καὶ ὁ ἔκτασιν ἔχων ποιοῦ ἀπαρτισμοῦ, οἷον «καλὸς ὁ κατὰ Μειδίου λόγος Δημοσθένους». Λόγος λέγεται 〈καὶ〉 τὸ βιβλίον, ὡς τὸ «χρῆσόν μοι τὸν κατ’ Ἀνδροτίωνος λόγον». Λόγος λέγεται καὶ ἡ σχέσις τῶν μεγεθῶν, ὡς ὅταν λέγωμεν ὅτι ὃν λόγον ἔχει τόδε τὸ μέγεθος πρὸς τόδε, τοιόνδε ἔχει τόδε πρὸς ἄλλο. Λόγος λέγεται καὶ ἡ ὑπόθεσις, οἷον 〈fr. com. 4, 654 p. 1224 M〉 ἤδη δὲ λέξω τὸν λόγον τοῦ δράματος Καὶ τὴν διδασκαλία ν. Λόγος λέγεται καὶ ἡ αἰτία, καθὰ καὶ ὁ Πλάτων φησὶ 〈ubi?〉 «τέχνην δὲ ἐγὼ οὐ καλῶ ὃ ἂν ᾖ ἄλογον πρᾶγμα». Λόγος λέγεται κατ’ ἐξοχὴν καὶ ὁ θεός, οἷον 〈Ev. Joh. 1, 1〉 ἐν ἀρχῇ ἦν ὁ λόγο ς , καὶ ὁ λόγος ἦν πρὸς τὸν θεό ν, ἤτοι ὁ υἱὸς τοῦ θεοῦ ἐν ἀρχῇ ἦν ἀπαράλλακτος καὶ ἴσος τῷ πατρί. Λόγον δὲ ἐκάλεσεν ἐνταῦθα τὸν διεξοδικόν, τὸν ἀναπληρούμενον ἐκ τῶν μερῶν 〈τοῦ λόγου〉. Λόγος ἐστὶ πεζῆς λέξεως καὶ τἆλλα.] Μεμπτέος ἄγαν ὁ τεχνικός, καθὸ τὸν λόγον πεζῆς λέξεως σύνθεσιν εἶπεν· εἰ γὰρ οὕτω δεξόμεθα, ἐκβάλλομεν καὶ ἀθετοῦμεν τοὺς ἐμμέτρους λόγους, καὶ τὴν ἐν τούτοις λέξιν οὐ λέγομεν μέρος λόγου ἐλάχιστον. Δεῖ γοῦν οὕτως ὁρίζειν· «λόγος ἐστὶ σύνθεσις λέξεων κατάλληλος διάνοιαν ἀπαρτίζουσα», ἵν’ ὑγιῶς ἔχῃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ ὅρος καὶ χωρισθῇ εἴς τε τὸν πεζὸν καὶ τὸν ἔμμετρον λόγον. «Πεζῆς» οὖν εἶπε τῆς καταλογάδην, τουτέστι τῆς οὔπω ἐμμέτρου· ἡ γὰρ ἔμμετρος σύνθεσις τῶν λέξεων τελείαν ἔννοιαν σημαίνουσα περίοδος καλεῖται· «αὐτοτελῆ» δὲ ἀντὶ τοῦ τελείαν. Πάλιν μέμψεως ἄξιός ἐστιν εἰπὼν σύνθεσιν· ἐχρεώστει γὰρ παράθεσιν εἰπεῖν, καὶ οὐ σύνθεσιν, ἐπειδὴ διαφέρει παράθεσις συνθέσεως· παράθεσις μὲν γάρ ἐστι συλλογὴ λέξεων ἰδίᾳ ῥητῶν καὶ ἰδίᾳ νοητῶν, σύνθεσις δὲ συνάφεια λέξεων καθ’ ἕνα τόνον καὶ ἓν πνεῦμα γινομένη· ὤφειλε τοίνυν κυριώτερον παράθεσιν καὶ οὐ σύνθεσιν εἰπεῖν. Ἀλλ’ ἴσως κατεχρήσατο τῇ λέξει, πολλάκις γὰρ σύνθεσις ἀντὶ παραθέσεως παρείληπται· καὶ γάρ φαμεν «καλῶς συντέθειται Δημοσθένει ὁ περὶ τοῦ στεφάνου», καὶ «καλῇ συνθέσει φράσεως κέχρηται Πλάτων». Λόγος ἐστὶ πεζῆς λέξεως σύνθεσι ς.] Ὁ γὰρ λόγος etc. = Σ v 214, 5—12. Τοῦ δὲ λόγου μέρη ἐστὶν ὀκτ ώ , ὄνομ α , ῥῆμ α , μετοχ ή , ἄρθρο ν , ἀντωνυμί α , πρόθεσι ς , ἐπίρρημ α , σύνδεσμο ς.

356 ] Ἰστέον ὅτι τὰ παρ’ ἡμῖν μέρη τοῦ λόγου φιλοσόφων παῖδες στοιχεῖα καλοῦσιν· ὥσπερ γὰρ τὰ στοιχεῖα ἀποτελεῖ τὰς συλλαβάς, καὶ τὰ κοσμικὰ στοιχεῖα τὰ σώματα, οὕτω καὶ ταῦτα συνερχόμενα ἀπαρτίζει τοὺς λόγους. Ἡ γὰρ προσηγορία ὡς εἶδος τῷ ὀνόματι ὑποβέβλητα ι.] Τινὲς τὸ προσηγορικὸν etc. = Σ d 58, 21—26. 〈Heliodori.〉 —Οἱ γὰρ Στωϊκοὶ φιλόσοφοι λόγοις τισὶν ἐπερειδόμενοι χωρίζουσι τοῦ ὀνόματος τὴν προσηγορίαν, ἴδιον μέρος λόγου αὐτὴν λέγοντες εἶναι· καὶ καταλέγουσιν οὕτω τὰ μέρη τοῦ λόγου· πρῶτον ὄνομα, δεύτερον προσηγορία, τρίτον ὑφ’ ἓν ῥῆμα 〈καὶ〉 μετοχή, τὸ μὲν ῥῆμα κατηγόρημα λέγοντες, τὴν δὲ μετοχὴν ἔγκλιμα ῥήματος, ὅ ἐστι ῥήματος παραγωγή· τέταρτον ὑφ’ ἓν ἄρθρον καὶ ἀντωνυμία, τὸ μὲν φάσκοντες ἀόριστον ἄρθρον, τὸ δὲ ὡρισμένον ἄρθρον· καὶ πέμπτον ὑφ’ ἓν πρόθεσις 〈καὶ〉 σύνδεσμος, τὴν μὲν προθετικὸν σύνδεσμον προσαγορεύοντες, τὸν δὲ ὑποτακτικὸν σύνδεσμον· τὰ γὰρ ἐπιρρήματα οὔτε λόγου οὔτε ἀριθμοῦ ἠξίωσαν, παραφυάδι καὶ ἐπιφυλλίδι αὐτὰ παρεικάσαντες. Οἱ 〈δὲ〉 Στωϊκοὶ ὀνόματα μὲν τὰ κύρια ἔλεγον, τὰ δὲ προσηγορικὰ οὐκ ὀνόματα· μεθ’ οὓς ἄλλοι γραμματικοὶ δέκα εἶναι τὰ μέρη εἰσηγήσαντο, ἰδιάζειν λέγοντες τὴν ἀπαρέμφατον ἔγκλισιν· μεθ’ οὓς ἄλλοι εἰς ἕνδεκα μέρη τὸν μερισμὸν ἐποιήσαντο τῶν τοῦ λόγου μερῶν, ἀπονέμοντες ἴδιον τόπον ταῖς συνάρθροις ἀντωνυμίαις. Ἡμῖν δὲ νόμος ἀνὴρ ἄριστος ἐν ἀκριβείᾳ καὶ τέχνῃ Τρύφων, ὃς καὶ διδάσκαλος Ἀπολλωνίου τοῦ τεχνογράφου πρῶτος κατέστη, ὃς ὑπέθηκε τῷ ὀνόματι τὴν προσηγορίαν. 〈Τρεῖς δὲ ἀποφάσεις ἔλεγον οἱ Στωϊκο ί, μὴ ἓν μέρος λόγου εἶναι τὸ ὄνομα καὶ τὴν προσηγορίαν,〉 αἵτινές εἰσιν αὗται· πρώτη μὲν ἡ λέγουσα οὕτως, ὡς ἀναγκαίως δεῖ χωρίζειν τό τε ὄνομα καὶ τὴν προσηγορίαν, ἐπεὶ διάφορος ἡ κλίσις κυρίων καὶ προσηγορικῶν· ἰδοὺ γὰρ Πάρις μὲν Πάριδος, ὅτι κύριον, μάντις 〈δὲ〉 μάντιος καὶ μάντεως καὶ ὄφις ὄφιος καὶ ὄφεως, ὅτι προσηγορικά. Πρὸς οὓς ἦν ἀντιλέγων Τρύφω ν· εἰ κλίσις ἐστὶν ἡ ἑνοῦσα καὶ χωρίζουσα τὰ μέρη τοῦ λόγου, εἴπωμεν τὸ μῆνις θηλυκὸν ὄνομα καὶ τὸ Πάρις ἀρσενικὸν ἑνὸς εἶναι γένους, ἐπειδὴ ἄμφω τὴν αὐτὴν ἐποιήσαντο κλίσιν, μήνιδος γὰρ καὶ Πάριδος φαμέν· ὁμοίως δὲ καὶ τὸ λέων ὄνομα καὶ τὴν λέγων μετοχὴν εἴπωμεν τοῦ αὐτοῦ μέρους καὶ τοῦ αὐτοῦ εἴδους εἶναι, ἐπειδὴ ἄμφω τὰς γενικὰς ὁμοίας εὑρίσκομεν, λέοντος γὰρ καὶ λέγοντος φαμέν· καὶ ἔμπαλιν τὸ ποιῶ καὶ βοῶ—ἰδοὺ 〈γὰρ〉 διάφορον ἐποιήσαντο κλίσιν, ποιῶ γὰρ ποιεῖς καὶ βοῶ βοᾷς—λέγομεν μὴ τοῦ αὐτοῦ μέρους εἶναι. Δευτέρα δὲ ἀπόφασις ὁμοίως, ὡς ἀναγκαίως κατὰ τοῦτο δεῖ χωρίζειν τό τε ὄνομα καὶ τὴν προσηγορίαν, ἐπειδὴ ἀπὸ μὲν κυρίων παράγονται πατρωνυμικά, ἀπὸ δὲ προσηγορικῶν οὐ παράγονται πατρωνυμικά [ἀλλὰ συγκριτικά]· ἰδοὺ γὰρ ἀπὸ μὲν τοῦ Τάνταλος φαμὲν Τανταλίδης, ἀπὸ δὲ τοῦ ἄνθρωπος οὐ λέγομεν ἀνθρωπίδης.

357 Πρὸς ἣν ἀντεῖπε Τρύφων οὕτω λέγων· εἰ παραγωγή ἐστιν ἡ ἑνοῦσα καὶ χωρίζουσα τὰ μέρη τοῦ λόγου, μηδὲν ἡμᾶς ἰσχέτω τὸ εὐσεβής ὄνομα καὶ τὴν ἐρρωμένος μετοχὴν ὑπὸ τὸ αὐτὸ εἶδος ἀνάγειν, ἐπειδὴ τὰ δύο τὴν αὐτὴν ἐποιήσαντο παραγωγήν, εὐσεβέστερος καὶ ἐρρωμενέστερος.

Καὶ τρίτη ἀπόφασις πάλιν, ὡς κατὰ πολὺ χρὴ χωρίζειν τοῦ ὀνόματος τὴν προσηγορίαν, ἐπειδὴ τὰ μὲν κύρια οὐκ ἔχει θηλυκά, ἀλλὰ τὰ προσηγορικά. Πρὸς ἣν πάλιν ὁ Τρύφων ἀντεῖπε λέγων, εἰ παρασχηματισμὸς μερίζει, χωριζέσθω ὁ ἄνθρωπος ἀπὸ τοῦ χρυσός καὶ τοῦ ἄργυρος, καὶ μὴ εἴη τοῦ αὐτοῦ μέρους, ἐπειδὴ ὁ μὲν ἄνθρωπος παρασχηματίζει θηλυκόν, ὁ δὲ χρυσός καὶ ὁ ἄργυρος τὸ μονογενὲς ἔχουσιν· ἄλλως τε πάλιν τὰ κύρια λέγουσι μὴ ἔχειν θηλυκά, τὰ δὲ προσηγορικὰ ἔχειν· οὐκοῦν τὸ σώφρων ὡς κοινόν, τὸ ἄργυρος ὡς μονογενές, τὸ φίλος ὡς τριγενὲς οὐ τῆς αὐτῆς ἔσονται καταλογῆς. —Λεκτέον οὖν ὡς παντὸς μέρους τὰ ἴδια δεῖ σκοπεῖν καὶ οὐ τὰ παρεπόμενα, καὶ οὕτω ποιεῖσθαι τὸν μερισμόν· ἴδιον δέ ἐστι τὸ ἑνὶ μόνῳ ἀνῆκον, ἑτέρῳ δὲ μὴ ἐπικοινωνοῦν, ὡς ἀνθρώπῳ τὸ γελαστικόν, ἵππῳ δὲ τὸ χρεμετιστικόν, παρεπόμενα δὲ λευκὸν ἢ μέλαν, ταχὺ ἢ βραδύ. Οὕτω δὴ καὶ ὀνόματος ἴδιον μὲν τὸ δηλοῦν τὴν τῶν ὑποκειμένων σωμάτων ἢ πραγμάτων ποιότητα, παρεπόμενον δὲ τὸ κύριον ἢ προσηγορικὸν εἶναι· ὥστε καθὸ ποιότητα δηλοῖ τὸ κύριον, ὄνομά ἐστι, κἂν μὴ προσηγορικὸν ᾖ, καὶ καθὸ ποιότητα δηλοῖ τὸ προσηγορικόν, ὄνομά ἐστι, κἂν μὴ ᾖ κύριον. Ἰστέον ὅτι τὸ ὄνομα καὶ τὸ ῥῆμα προτερεύει τῶν λοιπῶν λέξεων ἐκ τοῦ μηδέποτε λόγον δίχα τούτων συγκεῖσθαι. Καὶ πόθεν δῆλον; εἴποι τις ἄν. Καί φαμεν, ὡς ἔστι στίχος Ὁμηρικὸς ἔχων τὰ ὀκτὼ μέρη τοῦ λόγου οὕτω λέγων· 〈X 59〉 πρὸς δ ’ ἐμὲ τὸν δύστηνον ἔτι φρονέον τ ’ ἐλέησο ν· οὗπερ ἂν ἀφέλῃς πρώτην καὶ δευτέραν καὶ τρίτην λέξιν ἢ καὶ πλέον, πάλιν συστήσεται, τὸ δὲ ὄνομα ἂν ἐκβάλῃς καὶ τὸ ῥῆμα ἀσυστατήσει, οἷον συστήσεται δίχα τῆς πρός προθέσεως καὶ τοῦ δέ συνδέσμου καὶ τῆς ἐμέ ἀντωνυμίας καὶ τοῦ τόν ἄρθρου 〈τὸ〉 «δύστηνον ἔτι φρονέοντ’ ἐλέησον»· δίχα δὲ ὀνόματος καὶ ῥήματος εἰ λεχθείη, εὐθὺς ἀσυστατήσει, καθὼς ἤδη εἰρήκαμεν. Ὥστε τοίνυν μεμαθήκαμεν, ὡς τῶν ἄλλων προύχουσι ταῦτα τὰ δύο μέρη, τό τε ὄνομα καὶ τὸ ῥῆμα, κύρια γὰρ καὶ γνησιώτερα μέρη λόγου τὰ δύο ταῦτα, πάντα δὲ τὰ ἄλλα πρὸς τὴν τελείαν σύνταξιν ἐπινενόηται.

358 Οὐδὲ γὰρ ἰδίοις ὀνόμασι κέχρηνται, ἀλλ’ ὡς ἀπὸ τῆς χρείας· μετοχὴ γὰρ διὰ τὸ μετέχειν τῆς τῶν ῥημάτων καὶ τῆς τῶν ὀνομάτων ἰδιότητος καὶ μεταξὺ εἶναι ὀνόματος καὶ ῥήματος· καὶ ἄρθρον διὰ τὸ συναρτᾶσθαι πτωτικοῖς, τουτέστι συνδεσμεῖσθαι· ἀντωνυμία δὲ διὰ τὸ ἀντὶ ὀνόματος παραλαμβάνεσθαι· πρόθεσις δὲ διὰ τὸ προτίθεσθαι τῶν προειρημένων δύο μερῶν τοῦ λόγου, ὀνόματος καὶ ῥήματος· ἐπίρρημα δὲ διὰ τὸ ἐπὶ ῥήματα φέρεσθαι· σύνδεσμος δέ, ἐπειδὴ συνδεσμεύει. Σκοπήσωμεν λοιπόν, εἰ εὐλόγως τὴν πρώτην 〈τάξιν〉 ἐκληρώσατο τοὔνομα· τῶν γὰρ δύο μερῶν ἡ λέξις αὕτη, τὸ ὄνομα, πρόκειται, ἐπεὶ ἐξ αὐτοῦ πάντα ὀνομάζεται· οὐ πιθανὸν γὰρ προτάττειν τοῦ ὀνόματος τὸ ῥῆμα, ἐπειδὴ καὶ πᾶσαι λέξεις ἐπικοίνως τῇ αὐτοῦ προσηγορίᾳ ὀνόματα καλοῦνται. Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι εὐλόγως τὸ ὄνομα τοῦ ῥήματος προτακτέον, εἰ καὶ προτέτακται τῇ φύσει τὸ ῥῆμα, ὅτι τὰ μὲν ὀνόματα κατὰ οὐσιῶν τίθεται, τὰ δὲ ῥήματα κατὰ πραγμάτων· τὸ γὰρ ὄνομα οὐσίας ἐστὶ δηλωτικόν, τὸ δὲ ῥῆμα πράγματος· κυριώτεραι δὲ αἱ οὐσίαι τῶν πραγμάτων· ἀσύστατον γὰρ τὸ φιλοσοφεῖν δίχα τοῦ μετιόντος, ὁμοίως δὲ καὶ τὸ ἀναγινώσκειν, εἰ μὴ εἴη ὁ μετιὼν τὴν ἀνάγνωσιν Σωκράτης· προτερευέτω τοίνυν τὸ ὄνομα τοῦ ῥήματος, ὅσον καὶ ἡ οὐσία προτερεύει τοῦ πράγματος. Ἐτυμολογεῖται δὲ αὐτὸ οὕτως· νέμω ἐστὶ τὸ διαμερίζω, ἀπὸ δὲ τούτου ῥηματικὸν ὄνομα νόμα, καὶ προσθέσει τοῦ ο ὄνομα, ὡς κρυόεις ὀκρυόεις, σταφίς ὀσταφίς, τὸ νέμον οἱονεὶ καὶ διαμερίζον ἑκάστῳ τὴν ἰδίαν προσηγορίαν· ἐν γὰρ τῷ ἄνθρωπος ὀνόματι διαχωριζόμεθα μὲν τῶν ἄλλων, κοινωνοῦμεν δὲ ἑαυτοῖς πάντες, ἐν δὲ τῷ Ὅμηρος Σωκράτης ἐπιμερίζεται ἡ γνῶσις. Χρὴ γινώσκειν ὡς πᾶν διδακτὸν ἐξ ὅρου καὶ παρεπομένων καταλαμβάνεται. Διδακτέον οὖν τοῦ ὀνόματος τὸν ὅρον οὕτως· ὄνομά ἐστι μέρος λόγου πτωτικόν, ἑκάστῳ τῶν ὑποκειμένων σωμάτων ἢ πραγμάτων κοινὴν ἢ ἰδίαν ποιότητα ἀπονέμον, κοινὴν μέν, οἷον ἄνθρωπος ἵππος, ἰδικὴν δέ, οἷον γραμματική Σωκράτης. Ἰστέον 〈δὲ〉 ὅτι ἴδιον τοῦ ὀνόματος τυγχάνει etc. Σ v 215, 26—216, 7.

Ὄνομά ἐστι λέξις ἐπὶ σώματος καὶ πράγματος τεταγμένη, καὶ ἤτοι κοινῶς ἢ ἰδίως τι δηλοῦσα· κοινῶς μέν, οἷον ἄνθρωπος, ἰδίως δέ, οἷον Σωκράτης. § 12 (14b).

359 (1t) Περὶ ὀνόματος. Ὄνομά ἐστι μέρος λόγου πτωτικό ν , σῶμα ἢ πρᾶγμα σημαῖνο ν , σῶμα μέ ν , οἷον λίθο ς , πρᾶγμα δ έ , οἷον παιδεί α , κοινῶς τε καὶ ἰδίως λεγόμενο ν , κοινῶς μέ ν , οἷον ἄνθρωπος ἵππο ς , ἰδίως δ έ , οἷον Σωκράτης Πλάτω ν.] «Πτωτικόν», ἐπειδὴ κοινωνεῖ ἑτέροις etc. = Σ ν 216, 30—217, 21. Διὰ τί εἶπε «σῶμα ἢ πρᾶγμα σημαῖνον»; Διὰ τὰ ἄλλα πτωτικά, τό τε ἄρθρον καὶ τὴν ἀντωνυμίαν· ἐκεῖνα γὰρ οὐκ εἰσὶ σημαντικὰ καθ’ ὧν ἐπιφέρονται, ἀλλὰ τὸ μέν, ἤγουν ἡ ἀντωνυμία, δεικτικόν, τὸ δέ, ἤγουν τὸ ἄρθρον, παρεπόμενον τοῖς ὀνόμασι καὶ ταῖς μετοχαῖς καὶ ἀντωνυμίαις, οὐ πάσαις, ἀλλὰ πολλαῖς τισιν. —Ἐν πόσοις καὶ ποίοις τὸ ὄνομα; Ἐν δυσίν, ἤτοι σώμασι καὶ πράγμασιν. —Διὰ τί εἶπε «κοινῶς τε καὶ ἰδίως λεγόμενον»; Διότι ἐν τῇ λέξει οὐ διαφέρει, ὡς ὄνομα, τὸ κοινῇ καὶ κατ’ εἶδος ἢ γένος λεγόμενον ὄνομα τοῦ ἰδίως λεγομένου καὶ πρὸς ἓν ἄτομον. Πῶς; πλάτυνον. Ὄνομά ἐστι [μέρος τοῦ λόγου] ἐπ’ ἴσης τὸ ἄνθρωπος ἵππος ζῷον, τὰ κοινῶς ἐπιλεγόμενα τῷ παντὶ εἴδει τοῦ ἀνθρώπου καὶ παντὶ εἴδει 〈τοῦ〉 ἵππου καὶ παντὶ γένει τοῦ ζῴου, τῷ Σωκράτης καὶ Πλάτων, ἅτινα ἕνα Πλάτωνά τινα ἐν ἑνὶ ἀτόμῳ τῶν ἐν ὅλῳ τῷ εἴδει ἀνθρώπων καὶ ἕνα Σωκράτη δηλοῦσιν. Ἡ γὰρ προσηγορία, φησὶν ὁ τεχνικός, ἤγουν τὸ ὄνομα τῆς κοινῆς οὐσίας, ὡς εἶδος τῷ ὀνόματι ὑποβέβληται. Κοινῶς μέν, ὡς ἄνθρωπος, ἰδίως δέ, οἷον Σωκράτης Πλάτων· κοινὸν γάρ ἐστιν καὶ ἴδιον, ὡς εἴρηται, τῆς οὐσίας τὸ ὄνομα. —Ἐπειδὴ τὸ μὲν ὄνομα συναναιρεῖ, τὸ δὲ ῥῆμα συναναιρεῖται, διὰ τοῦτο καὶ προτερεύει τὸ ὄνομα τοῦ ῥήματος, ὡς οὐσία καὶ συμβεβηκός. Τί ἐστι μέρος; Πᾶν τὸ ἥμισυ τοῦ σώματος, ἢ καὶ ἓν μέλος, ἤτοι χεὶρ ἢ ποὺς ἢ κεφαλὴ ἢ ἄλλο τι τῶν μελῶν τοῦ σώματος. Διὰ τί εἶπε «μέρος»; Ἐπειδὴ ἐκ τῶν ὀκτὼ μερῶν τοῦ λόγου ἓν μέρος ἐστὶ τὸ ὄνομα καὶ πρῶτον, ἐξ ὧν ὁ λόγος ἁρμόζεται. —Διὰ τί εἶπε «πτωτικόν»; Ἐπειδὴ πτώσεις ἐπιδέχεται, καὶ διὰ τὰ ἄπτωτα. Ἀπὸ τῶν ὀκτὼ μερῶν τοῦ λόγου πόσα πτωτικὰ καὶ πόσα ἄπτωτα; Πτωτικὰ μὲν τέσσαρα, ὄνομα, μετοχή, ἄρθρον, ἀντωνυμία, ἄπτωτα δὲ τέσσαρα, ῥῆμα, πρόθεσις, ἐπίρρημα καὶ σύνδεσμος. Διὰ τί καλοῦνται τὰ μὲν πτωτικά, τὰ δὲ ἄπτωτα; Διότι μεταπίπτει ἐν τοῖς πτωτικοῖς τὸ τέλος τῆς εὐθείας ἐν τῇ γενικῇ· καὶ γὰρ ἐν ταῖς κλίσεσιν εἰς διαφόρους καταλήξεις μεταπίπτουσιν, οἷον λόγος λόγου λόγῳ λόγον ὄνομα, τύπτων τύπτοντος μετοχή, ὁ τοῦ τῷ ἄρθρον, αὐτός αὐτοῦ ἀντωνυμία· ἐν δὲ τοῖς ἀπτώτοις ἀεὶ τὸ τέλος ἕν ἐστιν. Τὸ δέ γε ῥῆμα ἀμφιβάλλεται. Καὶ μὴν τὸ ῥῆμα μεταπίπτειν δοκεῖ· τύπτω γάρ ἐστιν, τὸ δεύτερον τύπτεις, τὸ τρίτον τύπτει. Καί φασιν· ἀλλὰ δοκεῖ, οὐ μεταπίπτει δέ· ἄλλο γάρ ἐστι τὸ ὄνομα τῆς αὐτῆς οὐσίας, καὶ ἄλλο τὸ ἐν ἄλλῃ καὶ ἄλλῃ οὐσίᾳ, ἤγουν ἐν ἄλλῳ καὶ ἄλλῳ προσώπῳ, τὸ ῥῆμα ἀλλοίως καὶ ἀλλοίως ἐκφωνεῖσθαι. Πῶς φασιν—ἢ φῄς; κρεῖττον γάρ ἐστι τὸ δεύτερον τὸ φῄς· καὶ πλάτυνον. Φημὶ ὅτι πᾶν ὄνομα κλινόμενον τρίτον πρόσωπον δηλοῖ ἐπὶ τῶν πέντε πτώσεων· δοκεῖ γὰρ ὁ κλίνων μήτε ἑαυτὸν κλίνειν μήτε τὸν ἀκούοντα, περὶ δὲ [τοῦ] ἑτέρου διαλαμβάνειν, δηλαδὴ τρίτου προσώπου, ὅπερ οὔτε λέγει, ὡς ὁ λέγων τὸ πρῶτον πρόσωπον, οὔτε ἀκούει, ὡς ὁ ἀκούων τὸ δεύτερον· τὸ μέντοι τύπτω πρώτου προσώπου ἐστίν, τὸ δὲ τύπτεις δευτέρου, τὸ δὲ τύπτει τρίτου, ὥστε οὐδὲν τούτων ἀλλάσσει τὴν τελευταίαν εἰς τὴν τῆς ἰδίας οὐσίας μετάπτωσιν. Διὰ τὴν αἰτίαν οὖν ταύτην οὐ καλεῖται τὸ ῥῆμα πτωτικόν, ἀλλὰ τοῖς ἀκλίτοις τούτων καὶ ἀπτώτοις συντάσσεται, τῇ προθέσει, τῷ ἐπιρρήματι καὶ τῷ συνδέσμῳ.

360 Ποσαχῶς τὸ ὄνομα; Διχῶς· τὸ μὲν πρὸς ἀντιδιαστολὴν τοῦ ῥήματος, τὸ δὲ κοινῶς λεγόμενον ἐπὶ πάσης λέξεως, καθ’ ὃ σημαινόμενον πᾶσα φωνὴ σημαντικὴ ὄνομα λέγεται. —Πόσα σημαίνει τὸ ὄνομα; Δύο, σῶμα καὶ πρᾶγμα, σῶμα μέν, οἷον οὐσία, πρᾶγμα δέ, οἷον συμβεβηκός. —Τί ἐστι σῶμα; Ἡ αἰσθητὴ οὐσία· ἄλλως· πᾶν τὸ θεωρούμενον καὶ κρατούμενον ὑπὸ τῆς ἁφῆς τοῦ ἀνθρώπου λέγεται σῶμα, οἷον λίθος ξύλον. —Τί ἐστι πρᾶγμα; Ἡ ἐννοηματικὴ οὐσία, οἷον παιδεία ῥητορική φιλοσοφία· καὶ ἄλλως· πᾶν τὸ μήτε θεωρούμενον μήτε κρατούμενον ὑπὸ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἁφῆς τοῦ ἀνθρώπου λέγεται πρᾶγμα· ἄλλως· ὃ μηδενὶ τῶν εἰρημένων, ἤγουν ὁράσεως ἢ ψηλαφήσεως, νῷ δὲ μόνῳ θεωρεῖται, οἷον θεός λόγος. Καὶ ὁ κάπνος σῶμά ἐστιν ἢ πρᾶγμα; Καὶ σῶμα καὶ πρᾶγμα· σῶμα μέν, ὅτι θεωρεῖται, πρᾶγμα δέ, ὅτι οὐ κρατεῖται. —Διὰ τί προτερεύει τὸ ὄνομα τοῦ ῥήματος; Ἐπειδὴ τὸ μὲν ὄνομα οὐσίαν σημαίνει, τὸ δὲ ῥῆμα συμβεβηκός, προτέρα δὲ ἡ οὐσία τοῦ συμβεβηκότος. Πόθεν ὄνομα; Ἀπὸ τοῦ νέμω, ὃ δηλοῖ τὸ μερίζω, γίνεται νόμα, καὶ προσθέσει τοῦ ο ὄνομα. Σημείωσαι ὅτι τοῦτο μονῆρές ἐστιν· οὐδὲν γὰρ εἰς α λῆγον ὄνομα οὐδέτερον παραλήγεται ἑνὶ ο καὶ προπαραλήγεται ἑτέρῳ ο , εἰ μὴ μόνον τὸ ὄνομα· ὅθεν οἱ Αἰολεῖς ἀναλογώτεροί εἰσιν ὄνυμα λέγοντες, ὡς μήνυμα καὶ κώλυμα καὶ ἔρυμα, ἐξ οὗ καὶ τὸ φερώνυμον καὶ διώνυμον καὶ ὁμώνυμον. Ἄλλως· πόθεν ὄνομα; Ἐκ τοῦ ὀνῶ, ὃ δηλοῖ τὸ μέμφομαι· τούτου ὁ μέλλων ὀνόσω, ἐξ οὗ καὶ τὸ ὄνομα. Καὶ τί μετέχει; Ὅτι πρῶτον ἡ τοιαύτη λέξις τὸ ὄνομα ἐπὶ σκώμματι ἐπετρίβη τινὶ τῶν παλαιτάτων, ὃς ἐπεκλήθη Ὄνομα, ἤτοι σκῶμμα καὶ μέμψις τῆς Ἑλλάδος· ἐκ τούτου δὲ ἐκράτησεν ἡ λέξις κατὰ παντὸς οὐσίαν σημαίνοντος. —Πόσα σημαίνει τὸ νέμω; Ἕξ· τὸ παρέχω, παρ' οὗ καὶ νεμέτωρ ὁ βραβευτής· νέμω τὸ μερίζω, παρ' οὗ καὶ νόμος καὶ ὄνομα, τὸ μεμερισμένον πᾶσιν· νέμω τὸ βόσκω, ἐξ οὗ καὶ νομεύς ὁ βοσκός, καὶ νομή ἡ βοσκή· νέμω τὸ πορεύομαι, ἐξ οὗ καὶ νέμεται τὸ ἐπιπορεύεται· νέμω τὸ φθονῶ, ἐξ οὗ καὶ νέμεσις ἡ μέμψις, καὶ νεμεσῶ τὸ μέμφομαι· νέμω τὸ οἰκῶ, οἷον 〈Β 496〉 οἵ θ ' Ὑρίην ἐνέμοντο καὶ Αὐλίδα πετρήεσσα ν. — Ὄνομα· τὸ ο μικρόν, διὰ τί; Τὰ κατὰ πλεονασμὸν τοῦ ο γινόμενα μικρογραφεῖται· καὶ ἄλλως· ἐκ τοῦ ὀνῶ, ὃ δηλοῖ τὸ μέμφομαι· τὰ ἀπὸ τοῦ ο ἀρχόμενα μικρογραφεῖται, οἷον ὀνῶ τὸ ὠφελῶ, ὀνῶ τὸ μέμφομαι, ὁρῶ τὸ βλέπω καὶ ἕτερα· ὠδίνω δὲ (τὸ ἐπὶ τοκετοῦ) ὠθῶ ὤθω ὠφελῶ ὠχριῶ ὡρακιῶ ὠστίζω ὠνῶ (τὸ ἀγοράζω) καὶ ὡρῶ (τὸ φυλάττω) μεγάλα. —Εἰς τὸ ο τί πνεῦμα; Ψιλόν. Διὰ τί; Τὸ ο πρὸ τοῦ ν ψιλοῦται, ὀνῶ τὸ μέμφομαι, ὀνοστόν τὸ μεμπτόν· εἰ μή τις ἕτερος κωλύει λόγος, διὰ τὸ ὑποτακτικὸν ἄρθρον τῆς αἰτιατικῆς τῶν ἑνικῶν τοῦ ἀρσενικοῦ γένους τὸ ὄν· πᾶν γὰρ ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται. —Τίνα τόνον; Ὀξεῖαν. Διὰ τί; Πρὸ δύο συλλαβῶν περισπωμένη οὐ τίθεται. —Τὸ νο μικρόν, διὰ τί; Ἐκ τοῦ νέμω· τὰ ἔχοντα τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασιν ἔχουσι τὸ ο μικρὸν ἀντιπαρακείμενον ἐν τοῖς ὀνόμασιν, οἷον φέρω φόρος, νέμω νόμος, καὶ ἕτερα πλεῖστα. Καὶ ἄλλως· τὰ εἰς μα λήγοντα οὐδέτερα φύσει μακρᾷ παραλήγεται, χῶμα χρῶμα καὶ ἄλλα πολλά, πλὴν τοῦ στόμα ὄμμα ὄνομα καὶ ἑτέρων. Καὶ ἄλλως· ἐκ τοῦ ὀνόσω, ὃ δηλοῖ τὸ μέμψομαι· ἡ γὰρ τρίτη συζυγία τῶν περισπωμένων ἐπὶ τοῦ μέλλοντος θέλει ἔχειν τὸ ω τὸ μέγα ἢ τὸ ο τὸ μικρόν· καὶ πάντοτε μὲν τὸ ω τὸ μέγα, πλὴν ὀνόσω, ὃ δηλοῖ τὸ μέμψομαι, βόσω (τὸ θρέψω), ἐνόσω, ὃ δηλοῖ τὸ κινήσω, καὶ ἑτέρων. Παρέπεται τῷ ὀνόματι πέντ ε , γέν η , εἴδ η , σχήματ α , ἀριθμο ί , πτώσει ς.] Παρεπόμενόν ἐστι etc. = Σ v 217, 23—218, 7. 〈Heliodori.〉 — Ἄξιον οὖν ἐνταῦθα ζητῆσαι, διὰ τί μὴ ἴδια ταῦτα λέγει εἶναι τοῦ ὀνόματος τὰ πέντε, ἀλλὰ παρεπόμενα, καὶ τί διαφέρει ἴδιον παρεπομένου.

361 Καὶ ἔστιν εἰπεῖν· ἴδιον μὲν λέγεται τὸ ἀναστρεφόμενον καὶ τοῦ αὐτοῦ γένους καὶ αὐτοῦ μόνου ὑπάρχον, ὡς ἴδιόν φαμεν τοῦ ἀνθρώπου τὸ γελαστικόν, αὐτοῦ γὰρ μόνου, καὶ εἴ τι γελαστικόν, τοῦτο ἄνθρωπος, καὶ ἵππου τὸ χρεμετιστικόν, καὶ εἴ τι χρεμετιστικόν, τοῦτο ἵππος· οὕτως ὀνόματος ἴδιον λέγομεν τὸ καθ' ὑποκειμένου καὶ οὐσιώδους τάττεσθαι, τοῦτο γὰρ αὐτῷ μόνῳ παρέπεται παρὰ τὰς ἄλλας λέξεις· παρεπόμενον δὲ ἐκεῖνο τὸ φύσει συμβεβηκὸς ἀχώριστον ἢ χωρισθῆναι δυνάμενον, ἀχώριστον μέν, ὡς Αἰθίοπι τὸ μέλαν, χωρισθῆναι δὲ δυνάμενον, ὡς τὸ καθέζεσθαι τῷ ἀνθρώπῳ, ὅπερ οὐχ ἑνὸς μόνου, ἀλλὰ καὶ ἄλλου γένους φαίνεται εἶναι. Τί ἐστι γένος; Ποιότης ὀνόματος ὑπὸ τῶν ἄρθρων διαιρουμένη. Καὶ ἄλλως· πτωτικῆς λέξεως χαρακτὴρ σημαίνων τὸ ἐν φωνῇ ἄρσεν ἢ θῆλυ ἢ οὐδέτερον. Καὶ σημειωτέον ὅτι ἔγκειται τῷ ὅρῳ τὸ «ἐν φωνῇ», ἐπεὶ οἱ φιλόσοφοι οὐκ ἀπὸ φωνῆς νοοῦσι τὰ γένη, ἀλλ' ἀπὸ τῆς σημασίας, οἱ δὲ γραμματικοὶ ἄρσεν γένος ἐκεῖνο λέγουσιν, οὗ προηγεῖται τὸ ὁ ἄρθρον, θῆλυ δέ, οὗ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προηγεῖται τὸ ἡ, οὐδέτερον δέ, οὗ προηγεῖται τὸ τό. Ἰστέον οὖν ὅτι τὸ γένος λέγεται τετραχῶς· καὶ γένος μὲν λέγεται ἡ πατρίς, ὡς οἱ ἀπὸ Νικαίας Νικαεῖς· γένος δὲ λέγεται καὶ τοῦ τεκόντος, ὡς οἱ ἐξ Ἰσραὴλ Ἰσραηλῖται· γένος δὲ λέγεται καί, περὶ οὗ παρὰ τοῖς φιλοσόφοις ὁ λόγος, τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον· καὶ τὸ παρὰ τοῖς γραμματικοῖς τέταρτον, πτωτικῆς λέξεως χαρακτὴρ σημαίνων τὸ ἐν φωνῇ ἄρσεν ἢ θῆλυ ἢ οὐδέτερόν τι διακρίνων. Διὰ τί παρέπεται τῷ ὀνόματι πέντε; Διότι καὶ τῷ ἀνθρώπῳ πέντε αἰσθήσεις εἰσίν, ὅρασις, ὄσφρησις, ἀκοή, γεῦσις καὶ ἁφή· διακρίνομεν δὲ ἐν μὲν τῇ ὁράσει τὸ λευκὸν καὶ τὸ μέλαν, ἐν δὲ τῇ ὀσφρήσει τὸ εὐῶδες καὶ τὸ δυσῶδες, ἐν δὲ τῇ ἀκοῇ τὸ ὀξὺ καὶ τὸ βαρύ, ἐν δὲ τῇ γεύσει τὸ γλυκὺ καὶ τὸ πικρόν, ἐν δὲ τῇ ἁφῇ τὸ ψυχρὸν καὶ τὸ θερμόν. Πόθεν γένος; Ἀπὸ τοῦ γείνω, ὃ δηλοῖ τὸ γεννῶ. Πόσα γένη; Τρία, ἀρσενικόν, θηλυκὸν καὶ οὐδέτερον· ἔνιοι δὲ προστιθέασι τούτοις καὶ ἕτερα δύο, κοινόν τε καὶ ἐπίκοινον· διὸ ἐξ ἀρχῆς ἐν μόνοις τοῖς ἀψύχοις ἐτίθετο ἡ τοιάδε φωνή, ἅτε μήτε ἀρσενικὰ μήτε θήλεα εἰκὸς νοεῖσθαι 〈καὶ〉 λέγεσθαι· μετέπειτα δὲ κατεχρήσαντο οἱ μεταγενέστεροι καὶ ἐπὶ ἐμψύχων· ἐφ’ ᾧ καὶ οὐκ ἐκ σημασίας ἔσχε τὴν ἐπωνυμίαν, ἀλλ’ ἐξ ἀποφάσεως τῶν δύο γενῶν. 〈Heliodori.〉 — Πρόσκειται δὲ τῷ ὅρῳ τοῦ γένους τὸ «ἐν φωνῇ», ἐπεὶ οἱ φιλόσοφοι οὐκ ἀπὸ τῆς φωνῆς νοοῦσι τὰ γένη, ἀλλ’ ἐκ τῆς σημασίας· καὶ ἄρσεν μὲν καλοῦσι τὸ σπέρματος ἀποβλητικόν, θῆλυ δὲ τὸ σπέρματος δεκτικόν, οὐδέτερον δὲ τὸ μηδενὸς τούτων μετέχον. Ἐὰν γὰρ ἐρωτηθῶσι τὸ βρέφος ἢ τὸ παιδίον ποίου γένους ἐστίν, ἐροῦσιν ἀρσενικοῦ πρὸς τὴν σημασίαν ἀποβλέποντες· καὶ πάλιν ἐὰν εἴπῃς αὐτοῖς τὸ γύναιον ποίου γένους, ἐροῦσι θηλυκοῦ πρὸς τὴν σημασίαν ἀποβλέποντες· καὶ πάλιν ἐὰν εἴπῃς αὐτοῖς ἡ πέτρα καὶ ὁ πύργος ποίου γένους, ἐροῦσιν οὐδετέρου· τὸ γὰρ οὐδέτερον οὐκ ἐκ σημασίας ἔχει τὴν ὀνομασίαν, ἀλλ’ ἐκ τῆς τῶν δύο γενῶν ἀποφάσεως.

362 Οἱ δὲ γραμματικοὶ λέγουσιν ἄρσεν γένος οὗ προτάσσεται κατ’ εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ ὁ, ὡς ὁ Αἴας, καὶ θηλυκὸν οὗ προτάσσεται κατ’ εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ ἡ, οἷον ἡ Μοῦσα, οὐδέτερον δὲ οὗ προτάσσεται 〈κατ’ εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον〉 τὸ τό, ὡς τὸ βῆμα. Ἰστέον δὲ ὅτι τὸ οὐδέτερον οὐκ ἐκ σημασίας τινὸς ἔχει τὴν ὀνομασίαν, ἀλλ’ ἐξ ἀποφάσεως τῶν δύο γενῶν· ὡς γὰρ ἐπὶ τῶν χρόνων ἐνεστῶτά φαμεν τὸν ἐνιστάμενον, καὶ παρατατικὸν τὸν ἔχοντα παράτασιν πολλὴν ὡς ἐκ πολλοῦ γενομένην καὶ οὔπω τετελεσμένην, καὶ παρακείμενον τὸν δηλοῦντα τὴν ἄρτι γενομένην συντέλειαν, καὶ ὑπερσυντέλικον τὸν δηλοῦντα πρᾶγμα πρὸ πολλοῦ συντετελεσμένον καὶ γενόμενον, καὶ μέλλοντα τὸν πρᾶγμα δηλοῦντα μέλλον γενέσθαι, ἀόριστον δὲ τὸν μηδὲν τούτων δηλοῦντα, καὶ ὡς ἐπὶ τῶν ἐγκλίσεων ὁμοίως ὁριστικήν φαμεν τὴν ὁρίζουσαν τὸ πρᾶγμα, καὶ προστακτικὴν τὴν πρόσταξιν σημαίνουσαν, καὶ εὐκτικὴν τὴν τὸ εὔχεσθαι 〈σημαίνουσαν〉, εἶτα τὴν ἀπαρέμφατον οὐκ ἀπὸ σημασίας ἀλλ’ ἐξ ἀποφάσεως ὀνομάζομεν, οὕτως ἀρσενικὸν καὶ θηλυκὸν ἀπὸ σημασίας, τὸ δὲ ἐξ ἀποφάσεως ἀμφοῖν οὐδέτερον καλοῦμεν, ὅ ἐστι τὸ μηδὲ ἓν τῶν προειρημένων σημαῖνον. Καὶ τοῦτο δὲ ἰστέον, ὅτι πολλάκις ὁ ποιητὴς οὐ πρὸς τὸν χαρακτῆρα τῶν οὐδετέρων ἀλλὰ πρὸς τὸ σημαινόμενον ὑπαντᾷ, ὡς ἐν τῷ 〈Κ 278〉 κλῦθί με υ , αἰγιόχοιο Διὸς τέκο ς , ἥ τέ μοι αἰε ί, καὶ ἐν ἄλλοις πλείστοις ὁμοίως. Προτάσσειν δὲ δεῖ τὸ εἶδος τοῦ γένους· πᾶσα γὰρ φωνὴ ὑπὸ εἶδος ἀνάγεται, οὔ γε μὴν ὑπὸ γένος· οἱ δὲ φιλόσοφοι τὸ γένος προτιθέασιν ὡς περιεκτικὸν τῶν εἰδῶν. 〈Heliodori.〉 — Ἔνιοι δὲ προστιθέασι τούτοις ἄλλα δύ ο , κοινόν τε καὶ ἐπίκοινο ν.] Ἐπειδή τινες εἰσηγήσαντο ἄλλα δύο γένη, τὸ κοινόν τε καὶ ἐπίκοινον, τούτου χάριν ἐλευθερῶν ἑαυτὸν μέμψεως ὁ τεχνικὸς ἔφη «ἔνιοι δὲ προστιθέασιν»· εἰ γὰρ τέσσαρα ἔσονται τὰ γένῃ, ἀρσενικὸν θηλυκὸν κοινόν τε καὶ ἐπίκοινον, πῶς τὸ μηδὲν τούτων ἐμφαῖνον οὐδέτερον εἴπομεν; Φυσικῶς γὰρ δύο ἐπιστάμεθα γένη, ἄρσεν καὶ θῆλυ, καὶ τὸ ἐξ ἀναιρέσεως τῶν δύο προσαγορευόμενον οὐδέτερον, καὶ ἑκάστῳ αὐτῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δέδοταί τις οἰκεῖος χαρακτὴρ καὶ ἴδιον ἄρθρον· λέγομεν γάρ, ὅτι ὁ εἰς αν χαρακτὴρ ἀρσενικῶν ἐστι μόνων, οἷον μεγιστάν πελεκάν, καὶ ὁ εἰς η θηλυκῶν μόνων, 〈οἷον〉 Ἑλένη Κλυμένη, καὶ ὁ εἰς ον οὐδετέρων μόνων, οἷον δένδρον ξύλον· καὶ τὸ ὁ ἄρθρον ἀρσενικῶν ἐστι μόνων, τὸ δὲ ἡ θηλυκῶν, καὶ τὸ τό οὐδετέρων.

363 Παράσχωμεν τοίνυν καὶ τῷ κοινῷ γένει καὶ τῷ ἐπικοίνῳ ἰδίους χαρακτῆρας καὶ ἴδια ἄρθρα πρὸς ἀκρίβειαν καὶ διάκρισιν τῶν ἄλλων γενῶν, καὶ τότε δῶμεν καὶ αὐτὰ γένη· εἰ δὲ οὐχ εὑρίσκομεν, τί μάτην πλῆθος γενῶν παρεισάγομεν τῇ τέχνῃ; καὶ χρὴ λέγειν ὄνομα κοινόν, ὄνομα ἐπίκοινον, καὶ οὐ γένος κοινὸν καὶ ἐπίκοινον. Ὡς οὖν δέδεικται, οὐ δεχόμεθα τὰ γένη ταῦτα παρὰ τὸ ἀρσενικὸν καὶ θηλυκὸν καὶ οὐδέτερον, ἐπειδὴ οὔτε σημασίαν ἰδίαν ἔχουσιν οὔτε ἄρθρον ἴδιον· τὸ γὰρ σημαινόμενον αὐτῶν ἢ ἀρσενικὸν ἢ θηλυκόν, καὶ ἡ φωνὴ αὐτῶν ἢ ἀρσενικὴ ἢ θηλυκή. Καὶ κοινὸν μέν ἐστι etc. = Σ v 218, 27—219, 7. Καὶ πάλιν ἐκεῖνα καλοῦμεν κοινά, ὅσα ἐξ αὐτῆς τῆς φύσεως πᾶσίν εἰσιν ἐγνωσμένα, εἴτε ἀρσενικὰ εἴτε θηλυκά εἰσιν, ὡς ἐπὶ ἀνθρώπου 〈καὶ〉 ἵππου καὶ τῶν τοιούτων· ἐπίκοινα δέ, ὅσα ἐξ αὐτῆς τῆς φύσεως οὐκ εἰσὶ πᾶσιν ἐγνωσμένα, εἴτε ἀρσενικὰ εἴτε θηλυκά 〈εἰσιν〉, ὡς ἐπὶ ἀετοῦ καὶ περιστερᾶς καὶ τῶν τοιούτων. Τί ἐστι κοινὸν γένος; Ὃ τὰς μὲν πτώσεις ἔχει τὰς αὐτάς, ὑποτάσσεται δὲ ἰδίοις ἄρθροις, οἷον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος. Καὶ ἄλλως· τὸ διὰ δύο ἄρθρων καὶ δι' ἑνὸς ὀνόματος σημαῖνον τό τε ἄρσεν καὶ θῆλυ, οἷον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος, ὁ βοῦς καὶ ἡ βοῦς, ὁ κύων καὶ ἡ κύων, καὶ τὰ ὅμοια. Τί ἐστιν ἐπίκοινον γένος; Τὸ δι' ἑνὸς ἄρθρου, ἢ μόνου ἀρσενικοῦ ἢ μόνου θηλυκοῦ, σημαῖνον τὸ ἄρσεν καὶ θῆλυ, οἷον ὁ κόραξ, ὁ ἰχθῦς, ἡ περιστερά, ἡ ἀηδών· ἐκεῖνο μὲν γὰρ τὸ κοινὸν διὰ τὸ κοινῶς τοῦ εἴδους τὸ ὄνομα ἐπιφέρεσθαι, τοῦτο δέ, ἤγουν τὸ ἐπίκοινον, διὰ τὸ συμπεριλαμβάνειν ἐπικοίνως ἐν ἑνὶ ἄρθρῳ τὰ δύο γένη, τὸ ἄρσεν καὶ τὸ θῆλυ. Ἀλλ' οὐδὲν ταῦτα πρὸς τὸν γραμματικόν. Τί ἐστιν εἶδος; Τοῦτο τὸ εἶδος λέγεται τριχῶς· λέγεται γὰρ εἶδος παρὰ τοῖς φιλοσόφοις τὸ περιεκτικὸν τῶν εἰδικῶν, ἤτοι τῶν ἀτόμων, τουτέστι τῶν προσώπων, τὸ κατὰ πλειόνων καὶ διαφερόντων τοῖς ἀτόμοις ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορούμενον· εἶδος λέγεται καὶ ἡ μορφή, ἤγουν ὁ πέτρος· εἶδος καὶ παρὰ τοῖς γραμματικοῖς φωνῆς εἰκὼν τὴν ἐν αὐτῇ δηλοῦσα πρώτην ἢ δευτέραν θέσιν. —Πόθεν εἶδος; Ἀπὸ τοῦ εἴδω, ὃ δηλοῖ τὸ ὁμοιῶ. —Πόσα σημαίνει τὸ εἴδω; Διὰ μὲν τῆς ει διφθόγγου πέντε· εἴδω τὸ γινώσκω, ἐξ οὗ καὶ τὸ 〈υ 75〉 οἶδεν ἅπαντ α· εἴδω τὸ φαίνω, ἐξ οὗ καὶ τὸ 〈Θ 559〉 εἴδεται ἄστρ α· εἴδω τὸ ὁμοιῶ, ἐξ οὗ καὶ εἰκών· εἴδω τὸ λέγω, ἐξ οὗ καὶ τὸ 〈Α 1〉 μῆνιν ἄειδ ε, μετὰ τοῦ ἐπιτατικοῦ α , καὶ γὰρ οἱ πολλὰ ἐπιστάμενοι ᾄδουσιν· εἴδω τὸ βλέπω, τούτου δὴ ὁ δεύτερος ἀόριστος ἴδον, οἷον 〈ubi?〉 ἴδον παῖδας Χαλδαίω ν· διὰ δὲ τοῦ η τέσσαρα· ἥδω τὸ ἐπιθυμῶ, ἐξ οὗ καὶ ἧπαρ, ἐν τούτῳ γὰρ τὰ τῆς ἡδονῆς καὶ τῆς ἐπιθυμίας· ἥδω τὸ ἀρέσκω, ἀφ' οὗ καὶ τὸ 〈Μ 80. Ν 748〉 ἅδε δ ' Ἕκτορι μῦθος, ἀφ' οὗ καὶ παράγωγον ἁνδάνω, οἷον 〈Α 24. 378〉 οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμ ῷ· ἥδω τὸ εὐφραίνω, ἐξ οὗ καὶ ἡδύς καὶ ἡδύνω παράγωγον· ἤδω τὸ ὠφελῶ, ἐξ οὗ καὶ ἦδος τὸ ὄφελος. —Πόσα εἴδη; Δύο, πρωτότυπον καὶ παράγωγον. Εἴδη δύ ο.

364 ] Εἶδός ἐστι χαρακτὴρ λέξεως διάφορον σημασίαν ἔχων, ταττόμενον ὑπὸ τὸ γένος, εἰ καὶ μὴ πάντοτε ἀλλὰ πολλάκις, ἢ περιεχόμενον ὑπ' αὐτοῦ. Καὶ ἄλλως· εἶδός ἐστι φωνῆς εἰκὼν δηλοῦσα τὴν ἐν αὐτῇ πρώτην ἢ δευτέραν θέσιν. 〈Heliodori.〉 —Ζητοῦσι δέ τινες ἐνταῦθα λέγοντες, διὰ τί μὴ τὸ εἶδος τοῦ γένους προέταξεν ὁ τεχνικός, εἴ γε πᾶσα λέξις ὑπὸ εἶδος ἀνάγεται, οὐχ ὑπὸ γένος, καθό φαμεν οὕτω, «πᾶσα λέξις ἢ πρωτότυπός ἐστιν ἢ παράγωγος». Πρὸς οὕς φαμεν, ὡς τοῖς φιλοσόφοις ἠκολούθησεν ὁ τεχνογράφος· ἐκεῖνοι μὲν γὰρ προτάσσουσι τοῦ εἴδους τὸ γένος, ὡς περιεκτικὸν τῶν εἰδῶν ὑπάρχον· οἱ δὲ γραμματικοὶ τὸ εἶδος προτάσσουσιν, ἐπειδὴ οὐ τοσοῦτον τῆς σημασίας ὅσον τῆς φωνῆς ἀντιποιοῦνται, καθὸ πᾶσα λέξις ὑπὸ εἶδος ἀνάγεται, οὐχ ὑπὸ γένος. —«Γένος δὲ καὶ εἶδος ἐνταῦθα οὐ τὰ παρὰ φιλοσόφοις· οἶδα γάρ, ὅτι γένος ἐκεῖνοί φασι τὸ περιέχον τὸ εἶδος καὶ εἶδος πάλιν τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιεχόμενον ὑπὸ τοῦ γένους, οἷον γένος τοῦ ἀνθρώπου τὸ ζῷον, καὶ ὁ ἄνθρωπος εἶδος ζῴου». Πρὸς ὃν δεῖ οὕτως ἀπαντᾶν· καὶ ἡμεῖς τοῦτό γε ἴσμεν, ὅτι φωνὰς νῦν ὁ τεχνικὸς εἰσηγεῖται, καὶ ὅτι γένος νῦν λέγει οὐ τὸ περιέχον τὸ εἶδος, ἀλλὰ τὸ ἄρσεν καὶ θῆλυ, καὶ εἶδος οὐ τὸ περιεχόμενον ὑπὸ τοῦ γένους, ἀλλὰ τὸ πρωτότυπον καὶ τὸ παράγωγον, καὶ ὅτι πᾶσα λέξις ὑπὸ τὸ εἶδος ἀνάγεται, καθὸ ἢ πρωτότυπός ἐστιν ἢ παράγωγος. καὶ διὰ τοῦτο τὸ εἶδος ὡς καθολικώτερον ὂν κατὰ τὴν φωνὴν τοῦ γένους ὀφείλει προτάξαι ὁ τεχνικός. Ἀλλά φαμεν, ὡς ὁμωνυμίαν εὑρὼν ἐνταῦθα τοῖς φιλοσόφοις προσεχαρίσατο τὸ γένος προτάξας. Τί ἐστι πρωτότυπον; Τὸ κατὰ 〈τὴν〉 πρώτην θέσιν λεχθέν, 〈τουτέστι τὸ πρω-〉 τόθετον ὑπάρχον καὶ μὴ ἔχον προκάταρξίν τινα ἢ αἰτίαν τῆς ἑαυτοῦ γενέσεως, οἷον πᾶς. Τί ἐστι παράγωγον; Τὸ ἀπὸ πρωτοτύπου παραγόμενον, οἷον γήϊνος. Τὸ πρωτότυπον διχῶς νοεῖται etc. = Σ v 219, 19—30. 〈Heliodori.〉 —Γινώσκειν δὲ χρή, ὅτι τὸ παράγωγον, ὅ ἐστι τὸ ἀπό τινος παραγόμενον, ἑτέρῳ γίνεται ἀρχὴ καὶ πρωτότυπον φαίνεται, ὥσπερ παρὰ τοῖς φιλοσόφοις τὸ εἶδος εἰς γένος μεταπίπτει, καὶ τὸ εἶδος τοῦ γένους πάλιν ἑτέρου γένος εὑρίσκεται. Τοῦτο δὲ εἶπον, ἐπειδὴ τὸ γῆ ὄνομα παράγωγον ὄν—παράγεται γὰρ ἀπὸ τοῦ γῶ ῥήματος, ὅ ἐστι τὸ χωρῶ—πρωτότυπον εἶπεν ὁ τεχνικός, καθὸ πάλιν καὶ αὐτὸ πρωτότυπον ὄνομα τοῦ γαιήϊος φαίνεται, ὡς καὶ τὸ Θησεύς ἀπὸ τοῦ θήσω παραχθὲν πρωτοτύπου τὸ Θησείδης ἐποίησεν.

365 Ἰδοὺ τὸ εἶδος διχῶς, κατὰ φωνὴν τοῦ πρωτοτύπου, ὡς τὸ πᾶς, καὶ κατὰ σημασίαν τοῦ παραγώγου ἀπὸ τοῦ πρωτοτύπου, ὡς τὸ γήϊνος· ἄλλως τε δὲ κατὰ φωνὴν μέν, ὡς τὰ ἑπτὰ εἴδη τῶν παραγώγων, κατὰ δὲ σημασίαν, ὡς τὰ ὑποπεπτωκότα τῷ ὀνόματι, περὶ ὧν φησιν ὁ τεχνικός· «ὑποπέπτωκε δὲ τῷ ὀνόματι ταῦτα, ἃ καὶ εἴδη προσαγορεύεται», περὶ ὧν ῥηθήσεται. Πόσα εἴδη τῶν παραγώγων; Ἑπτά· πατρωνυμικόν, κτητικόν, συγκριτικόν, ὑπερθετικόν, ὑποκοριστικόν, παρώνυμον καὶ ῥηματικόν. Ἀλλὰ ταῦτα μὲν τοῦ παραγώγου ὀνόματός εἰσιν εἴδη, τὰ δὲ λεγόμενα ὑποπεπτωκότα τῷ ὀνόματι, ἃ καὶ αὐτὰ εἴδη προσαγορεύονται, τοῦ γενικοῦ καὶ πρωτοτύπου ὀνόματός εἰσιν εἴδη. Πῶς φῄς; πλάτυνον. Ὥσπερ τῷ γενικῷ ζώῳ ὑπόκεινται εἴδη, οἷον ἄνθρωπος βοῦς κύων, καὶ τῷ γενικῷ φυτῷ ὑπόκεινται εἴδη, 〈οἷον〉 ἐλαία συκῆ ἄμπελος, οὕτω καὶ τῷ γενικῷ ὀνόματι ὑπόκεινται καὶ ὑποβέβληνται εἴδη τὰ ὑποπεπτωκότα τῷ ὀνόματι, ἅ εἰσιν εἰκοσιτέσσαρα, καθὼς προϊὼν ὁ λόγος δηλώσει· τὰ δὲ ἑπτὰ εἴδη τῶν παραγώγων, ὡς ἀπὸ πρωτοτύπων ὀνομάτων παραγόμενα, [οὕτω] καὶ αὐτὰ εἴδη καλοῦνται ἀντὶ τρόπων. Ἐπιδιαίρεσιν τοῦ εἴδους πεποίηται, τεμὼν γὰρ αὐτὸ εἰς πρωτότυπον καὶ παράγωγον. Ἐνταῦθα etc. = Σ v 220, 3—13. Πατρωνυμικὸν μὲν οὖν ἐστι τὸ κυρίως ἀπὸ πατρὸς ἐσχηματισμένο ν]· οἷον Πηλείδης ὁ υἱὸς τοῦ Πηλέως· «ἐσχηματισμένον» τουτέστι παρηγμένον. 〈Heliodori.〉 —Καὶ δεῖ εἰδέναι ὅτι εὐλόγως προτάττει τὸ πατρωνυμικὸν τῶν ἄλλων, ἐπειδὴ ἀπὸ μόνων κυρίων γίνεται· καὶ ὃν τρόπον πρεσβεύει ἐν τοῖς ἄλλοις εἴδεσι τὰ κύρια, τοῦτον καὶ τὰ ἐξ αὐτῶν γινόμενα πρεσβεύειν ὀφείλει. —Ὁριστέον τοίνυν τὸ πατρωνυμικὸν οὕτως· πατρωνυμικόν ἐστιν ὃ γέγονεν ἀπὸ τῆς γενικῆς τοῦ πρωτοτύπου κυρίου καὶ εἰς αὐτὴν τὴν γενικὴν τοῦ πρωτοτύπου κυρίου ἀναλύεται μετὰ τοῦ υἱός ἢ ἔκγονος· τὰ δὲ μὴ ἀναλυόμενα εἰς γενικὴν κυρίου μετὰ τοῦ υἱός ἢ ἔκγονος τύπῳ μόνῳ καὶ οὐ σημαινομένῳ ἐστὶ πατρωνυμικά, δηλουμένῳ δὲ παρώνυμα, ὡς ἔχει τὸ Εὐριπίδης Ἡρῴδης· 〈ταῦτα〉 φωνῇ μόνῃ λέγομεν εἶναι πατρωνυμικά, ἐπεὶ μὴ ἀπὸ κυρίων 〈εἰσίν〉. Τὸ δὲ ἀδελφιδοῦς καὶ θυγατριδοῦς, καίτοι εἰς γενικὴν μετὰ τοῦ υἱός ἀναλυόμενα, οὐκ εἰσὶ πατρωνυμικά, ἐπεὶ μὴ ἀπὸ κυρίων εἰσὶ μήτε τύπον ἔχει πατρωνυμικόν, ἀλλὰ μᾶλλον συγγενικά· συγγενικὰ δὲ λέγομεν τὰ μὴ ἀπὸ πατέρων ἢ μητέρων γενόμενα, ἀπὸ δὲ ἄλλων συγγενῶν [ἢ ἀδελφικῶν]· ἔστι μὲν [ὡς] ἀπὸ ἀδελφοῦ, ὡς ἀδελφιδοῦς, ἢ 〈ἀπὸ〉 υἱοῦ, ὡς υἱιδοῦς, ἢ ἀπὸ θυγατρός, ὡς θυγατριδοῦς· καὶ ἴσως συγγενικὰ ἐκλήθη διὰ τὸ συγγένειάν τινα ταῦτα δηλοῦν.

366

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Καὶ ὁ μὲν ποιητὴς ἐκ πατέρων ποιεῖται τὰ πατρωνυμικά, ἢ ἀπὸ προγόνων, ὅταν ὁ πρόγονος ἀπὸ θεῶν κατάγηται· οὐδέποτε γὰρ Ὅμηρος ἐκ πάππων ἀποτελεῖ πατρωνυμικὸν χαρακτῆρα, εἰ μὴ ὁ πάππος Διὸς εἴη υἱός [τουτέστιν ἀπὸ θεῶν κατάγεται], ὡς ἐν τῷ Αἰακίδης (ὁ Ἀχιλλεύς) καὶ ἐν τῷ Δαρδανίδης (ὁ Πρίαμος). Οἱ δὲ νεώτεροι πάντες ποιηταὶ οὐ μόνον ἐκ πατέρων ποιοῦσι πατρωνυμικά, ἀλλὰ καὶ ἀπὸ μητέρων, οἷον Λητοΐδης (ὁ Ἀπόλλων) λέγοντες καὶ Δαναΐδης (ὁ Περσεύς) καὶ Εἰλαρίδης (ὁ Τιτυός), ἅτινα πατρωνυμικὰ καλοῦσιν ἐκ τῆς ἐπικρατούσης ἀρσενικῆς ἐπωνυμίας· ὡς καὶ ἡμεῖς ἀνδριαντοποιόν φαμεν τὸν καὶ γυναῖκας πλάσσοντα καὶ ἀνδροφόνον τὸν καὶ γυναῖκας φονεύοντα. —Χρειώδης δὲ τοῦ τύπου τούτου ἡ συντομία ἐσίν· ἀντὶ γὰρ τοῦ εἰπεῖν Πηλέως υἱός, Αἰακοῦ υἱὸς ἢ ἔκγονος, φημὶ Πηλείδης Αἰακίδης· ὅθεν οὐδὲ προστίθεται τὸ υἱός ἤ τι τοιοῦτον. Ἰστέον ὅτι τὰ πατρωνυμικὰ τιμιώτερά εἰσι τῶν ἄλλων εἰδῶν, ὡς ἀπὸ κυρίων παραγόμενα, οἷον Ἀτρεύς Ἀτρείδης, Αἰακός Αἰακίδης· τὰ γὰρ ἄλλα καὶ ἀπὸ κυρίων παράγονται καὶ ἀπὸ προσηγορικῶν, Ἀρίσταρχος Ἀριστάρχειος οἶκος, ἄνθρωπος ἀνθρώπειος νοῦς. Διὰ τί τὰ πατρωνυμικὰ etc. = Σ ν 222, 26—223, 2. Καταχρηστικῶς δὲ καὶ τὸ ἀπὸ προγόνω ν.] Καταχρηστικῶς δέ, φησί, καὶ [τὸ] ἀπὸ προγόνων σχηματίζεται, οἷον Αἰακίδης (ὁ Ἀχιλ〈λ〉εύς) ὁ Αἰακοῦ ἀπόγονος καὶ Δαρδανίδης (ὁ Πρίαμος) ὁ Δαρδάνου ἀπόγονος. Σχηματίζουσι δὲ καὶ ἀπὸ μητέρων, οἷον Λητοΐδης (ὁ Ἀπόλλων) ὁ τῆς Λητοῦς παῖς· τινὲς δὲ ταῦτα μητρωνυμικὰ ὀνομάζουσιν. — Τὰ γοῦν πατρωνυμικὰ θέλει μιᾷ συλλαβῇ πλεονάζειν τῆς γενικῆς τοῦ πρωτοτύπου· ἔχει δὲ τὴν γένεσιν πάντως ἀπὸ τῆς γενικῆς 〈τοῦ πρωτοτύπου〉. — Ἰστέον δὲ ὅτι 〈τὸ〉 πατήρ πολλὰ σημαίνει· 〈καὶ γὰρ〉 οὐ μόνους τοὺς φύσαντας, ἀλλὰ καὶ τοὺς προγόνους, καὶ τοὺς πολιούχους, καὶ 〈τοὺσ〉 τῶν πόλεων κτίστας, καὶ τοὺς νομοθέτας δὲ πατέρας λέγομεν. Λέγει τοίνυν ὁ τεχνικὸς χαρακτῆρας καὶ τύπους τῶν πατρωνυμικῶν τρεῖς· κοινὸν μὲν πάσης διαλέκτου τὸν εἰς δης , οἷον Πηλείδης, Ἰωνικὸν δὲ τὸν εἰς ων , οἷον Ἀτρείων, καὶ τρίτον τῶν Αἰολέων τὸν εἰς αδιος · τούτῳ γὰρ τῷ τύπῳ κέχρηνται οἱ Αἰολεῖς ἐπὶ τὰ πατρωνυμικά. Πόσοι τύποι τῶν πατρωνυμικῶν ἀρσενικῶν; Τρεῖς· ὁ εἰς δης , οἷον Πηλείδης, ὁ εἰς ων , οἷον Ἀτρείων, καὶ ὁ τῶν Αἰολέων ἴδιος τύπος, οἷον Ὑρράδιος.

367 —Διὰ τί προτέτακται τὸ πατρωνυμικόν; Ὅτι ἀπὸ μόνων γέγονε κυρίων· καὶ ὥσπερ ἐν τοῖς ἄλλοις εἴδεσι τὰ κύρια πρεσβεύει, οὕτω καὶ τὰ ἐξ αὐτῶν γινόμενα πρεσβεύειν ἤτοι πρωτεύειν ὀφείλει. 〈Heliodori.〉 —Ἐπειδὴ πρὸς νέους ἔγραψε τὴν τέχνην ὁ Διονύσιος, τοὺς μὲν τύπους τῶν πατρωνυμικῶν μόνον ἐξέθετο, αὐτῶν δὲ τῶν τύπων τοὺς σχηματισμοὺς ἐσιώπησεν, ἁπλουστέραν τὴν διδασκαλίαν ποιούμενος. Ἡμᾶς δὲ εὔλογόν ἐστιν εἰπεῖν τῶν τύπων ἕκαστος ὅθεν προῆλθε καὶ ποῖον σχηματισμὸν ἀνεδέξατο, ἀρξαμένους οὕτω τοῦ λόγου, ὡς πᾶν πατρωνυμικὸν ἀπὸ γενικῆς ἐστιν· πᾶσα γὰρ γενικὴ εἰς ος λήγουσα ἢ εἰς ους 〈ἢ εἰς ου 〉 εἰς δης ποιεῖ τὸ πατρωνυμικόν. Ἀλλ᾽ ὅτε εἰς ος λήγει ἡ γενική, ἀμοιβῇ τοῦ τέλους ἤγουν τῆς ἐσχάτης συλλαβῆς εἰς τὸ ιδης τὸ πατρωνυμικὸν ποιεῖ, καὶ πλεονάζει αὐτὸ μιᾷ συλλαβῇ, εἰ δὲ πλεονάζει 〈πλέοσι〉 συλλαβαῖς τῆς μιᾶς ἢ ἥττονας ἔχει συλλαβάς, πεπονθὸς εὑρίσκεται, οἷον Ἀγαμέμνονος Ἀγαμεμνονίδης· ὅθεν φαμὲν ἀπὸ τῆς γενικῆς τῆς Ἀνθεμίωνος Ἀνθεμιωνίδης ἦν τὸ ἀνάλογον, καὶ γεγονὸς Ἀνθεμίδης τῶν δύο συλλαβῶν συγκοπὴν ὑπέμεινεν· ὁμοίως καὶ ἀπὸ τοῦ Δευκαλίωνος Δευκαλιωνίδης ὤφειλεν εἶναι κατὰ ἀναλογίαν, συγκοπὴν δὲ πέπονθεν ἐν τῷ Δευκαλίδης· τὸ δὲ Χαλκωδοντιάδης καὶ Τελαμωνιάδης πλεονασμὸν ἔχειν τοῦ α φαμέν. Ὁμοίως καὶ ὅτε εἰς ους λήγει ἡ γενική, καὶ αὐτὴ ἀμείψασα τὸ τέλος εἰς ιδης πάλιν τὸ πατρωνυμικὸν ποιεῖ, οἷον Ἡρακλέους Ἡρακλεΐδης, Ἰφικλέους Ἰφικλεΐδης, καὶ κατὰ συναίρεσιν Ἡρακλείδης καὶ Ἰφικλείδης. Καὶ πάλιν ὅτε ἡ γενικὴ εἰς ου λήγει, μὴ οὖσα ἀπὸ τῶν εἰς ος εὐθειῶν, ἀλλὰ ἀπὸ τῶν εἰς ας ἢ εἰς ης , εἰς αδης τὸ πατρωνυμικὸν ποιεῖ, οἷον Βορέου Βορεάδης, Ἱππότου Ἱπποτάδης. Σημειωτέον δὲ ὅτι τὰ εἰς ος ὀνόματα εἰ μὲν παραλήγοιτο τῷ ι , διὰ τοῦ αδης τὸ πατρωνυμικὸν ποιεῖ, εἰ δὲ μή, διὰ τοῦ ιδης , οἷον Ἥλιος Ἡλιάδης, Θέστιος Θεστιάδης, Λαέρτιος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λαερτιάδης, τῶν δὲ μὴ παραληγομένων τῷ ι Πρίαμος Πριαμίδης, Τάνταλος Τανταλίδης, Πάνθοος Πανθοΐδης καὶ κατὰ συναίρεσιν Πανθοίδης· [τὰ γὰρ εἰς ος μὴ καθαρὰ διὰ τοῦ ιδης γίνονται πατρωνυμικά]. —Τοῦτο δὲ πάλιν σημειωτέον, ὅτι καθόλου τῶν εἰς δης ὅσα μὴ διφθόγγῳ παραλήγεται βραχεῖαν ἔχει τὴν παραλήγουσαν, πλὴν τοῦ Δημάδης, ὃ γέγονεν ἀπὸ τοῦ Δημεάδης δωρικῶς, καὶ τῶν ὀλίγων τῶν παρὰ ποιηταῖς ποιητικῶς ἐκτεταμένων, ἅτινά ἐστι ταῦτα, Ὑλλίδης Κοδρίδης Λαγίδης. Περὶ δὲ τοῦ εἰς ων πατρωνυμικοῦ τύπου τοῦτό φαμεν, ὅτι ἀπὸ τοῦ εἰς δης ἐστὶ πατρωνυμικοῦ τύπου· ὁ γὰρ εἰς δης πατρωνυμικὸς ἀμοιβῇ τοῦ τέλους ἤτοι τῆς ἐσχάτης συλλαβῆς εἰς ων τὸν εἰς ων πατρωνυμικὸν τύπον ἐργάζεται, οἷον Κρονίδης Κρονίων, Πηλείδης Πηλείων, Ἀτρείδης Ἀτρείων· τὸ δὲ Ὑπεριονίδης ἐχρῆν 〈γίνεσθαι〉 Ὑπεριονίων, τὸ ἄρα Ὑπερίων οὐ πατρωνυμικόν.

368 Οὗτος ὁ τύπος Ἰωνικός. —Περὶ δὲ τοῦ εἰς αδιος τύπου λέγομεν, ὅτι Αἰολέων ἴδιός ἐστιν οὗτος ὁ τύπος, ἐπινοηθεὶς ἀντὶ τοῦ εἰς δης , καθὸ πρὸς τὸ προπαροξύνεσθαι μᾶλλόν ἐστιν εὔθετος, καὶ χρειώδης Αἰολεῦσιν ὁ τύπος, καὶ πρὸς χρόνον καὶ πρὸς τόνον αὐτοῖς προπαροξυντικοῖς οὖσι· τὰ γὰρ διὰ τοῦ αδιος πρὸς τῷ συστέλλεσθαι καὶ προπαροξύνεται. Οὐκ ἀγνοεῖν δὲ χρή, ὅτι ὁ μὲν εἰς δης τῶν πατρωνυμικῶν τύπος κοινός ἐστιν, ὁ δὲ εἰς ων τῆς Ἰάδος, ὁ δὲ εἰς αδιος τῆς Αἰολίδος· Ὑρράδιος δέ ἐστιν ὁ τοῦ Ὕρρα υἱός, Ὕρρας δὲ Μιτυληναίων ἐγένετο βασιλεύς, οὗ υἱὸς ὁ Πιττακός, εἷς τῶν ἑπτὰ σοφῶν φανείς. Ἄλλως δὲ πάλι ν. —Τύποι τῶν πατρωνυμικῶν ἀρσενικῶν τρεῖς· ὁ εἰς δης , ὡς Πριαμίδης ἀπὸ τοῦ εἰς ος , καὶ Τυδείδης Πηλείδης ἀπὸ τῶν εἰς ευς , καὶ παρ’ Ἴωσιν ὁ εἰς ων , οἷον Πηλείων, καὶ παρ’ Αἰολεῦσιν ὁ εἰς αδιος , οἷον Τινάδιος ὁ 〈τοῦ〉 Τίνα παῖς. Ἔχει δὲ ὁ εἰς δης παραλήξεις τέσσαρας· ἢ γὰρ τῷ ι παραλήγεται, οἷον Κρονίδης Τανταλίδης, ἢ τῇ οι διφθόγγῳ, ὡς Πανθοίδης, ἢ τῷ α , ὡς Βορεάδης Τελαμωνιάδης, ἢ τῇ ει διφθόγγῳ, οἷον Πηλείδης. Ἀπὸ γοῦν τοῦ Τελαμῶνος 〈τὸ〉 ἀνάλογον ἦν Τελαμωνίδης, εἰ δὲ ἐπλεόνασε τὸ α , πέπονθε· καὶ πάλιν 〈ἀπὸ τοῦ〉 Δευκαλίων Δευκαλίωνος τὸ ἀνάλογον ἦν Δευκαλιωνίδης, εἰ δὲ εὑρίσκομεν παρὰ τῷ ποιητῇ 〈ex. gr. M 117〉 Δευκαλίδης, δῆλον ὡς πέπονθε. —Μόνος δὲ ὁ ποιητὴς οὐκ ἐχρήσατο ἀπὸ μητέρων τοῖς πατρωνυμικοῖς· ἄτοπον γὰρ ἡγήσατο, τὰς τῶν ἡρώων πράξεις ἐξηγούμενος ἀπὸ μητέρων παράγειν· οἱ δὲ νεώτεροι ποιηταὶ τούτου οὕτως ἐχρήσαντο. Πόσοι τύποι τῶν πατρωνυμικῶν θηλυκῶν; Τρεῖς· ὁ εἰς ις , οἷον Πριαμίς, ὁ εἰς ας , οἷον Πελιάς, καὶ ὁ εἰς νη , οἷον Ἀδρηστίνη 〈ἡ τοῦ Ἀδρήστου θυγάτηρ〉 , Ἀτρειώνη ἡ 〈τοῦ〉 Ἀτρέως θυγάτηρ, Ἀκρισιώνη ἡ 〈τοῦ〉 Ἀκρισίου θυγάτηρ. 〈Heliodori.〉 — Θηλυκῶν δὲ τύποι εἰσὶ τρεῖς · ὁ εἰς α ς , οἷον Ἡλιάς ἡ τοῦ Ἡλίου θυγάτη ρ , ὁ εἰς ι ς , οἷον Θησηΐς ἡ τοῦ Θησέως θυγάτηρ · 〈ἀπὸ〉 οὐδετέρων δὲ οὐ γίνονται πατρωνυμικ ά.] Ἰστέον δὲ ὅτι ὁ μὲν εἰς ας καὶ 〈ὁ〉 εἰς ις θηλυκὸς τύπος ἀπὸ τῶν εἰς δης πατρωνυμικῶν γίνονται, τοῦ δη μορίου ὑφαιρουμένου· τὰ γὰρ εἰς δης ἀποβάλλοντα τὴν δη ποιεῖ θηλυκόν, οἷον Πριαμίδης Πριαμίς, Τανταλίδης Τανταλίς, Βορεάδης Βορεάς, Πελιάδης Πελιάς, Αἰνειάδης Αἰνειάς· καὶ τὸ μὲν Χρυσηΐς Νηρηΐς ἀπὸ τοῦ Χρύσης Νηρεύς, καὶ ἀπὸ τοῦ Βασιλεύς Βασιληΐς καὶ ἐνδείᾳ τοῦ η Βασιλίς.

369 — Καὶ ὁ εἰς ν η , οἷον Ἀδρηστίν η.] Τοῦ δὲ τύπου τοῦ εἰς νη ἐστὶν ἡ χρῆσις παρ’ Ὁμήρῳ ἐν ἐκείνῳ τῷ ἔπει 〈Ε 412〉 μὴ δὴν Αἰγιάλει α , περίφρων Ἀδρηστίν η. Φιλεῖ δὲ γίνεσθαι ἀπὸ τῆς εἰς ου ληγούσης τοῦ πρωτοτύπου γενικῆς· αὕτη γὰρ τὴν ου μόνον μεταβάλλει ἢ εἰς ινη ἢ εἰς ωνη , καὶ ποιεῖ τὸν εἰς νη θηλυκὸν τύπον· ἀλλὰ τότε μὲν εἰς ινη , ὅτε τὸ πρωτότυπον οὐκ ἔχει τὸ ι παραλῆγον, οἷον Εὔηνος Εὐήνου Εὐηνίνη, Ἄδρηστος Ἀδρήστου Ἀδρηστίνη, Ὠκεανός Ὠκεανοῦ Ὠκεανίνη· τότε δὲ εἰς ωνη , ὅτε τὸ πρωτότυπον αὐτοῦ ἔχει παραλῆγον τὸ ι , 〈οἷον〉 Ἀκρίσιος Ἀκρισίου Ἀκρισιώνη, Ἰκάριος Ἰκαρίου Ἰκαριώνη, Ἥλιος Ἡλίου Ἡλιώνη, Ἰάσιος Ἰασίου Ἰασιώνη, ὅπως μὴ δύο ι ἀλλεπαλλήλως λεγόμενα κακοφωνίαν ἐργάσηται. —Χρειῶδες δὲ τὸ πατρωνυμικόν, ὅτι πλειόνων λέξεων εἰς μίαν λέξιν ἐστὶ συναγωγή· ἀντὶ γὰρ τοῦ εἰπεῖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πηλέως υἱός ἀρκεῖ μόνον εἰπεῖν Πηλείδης. Ἀπὸ δὲ μητέρων οὐ σχηματίζει πατρωνυμικὸν εἶδος ὁ Ὅμηρος, ἀλλ' οἱ μεταγενέστεροι ποιηταί, ὡς Ἡσίοδος 〈Scut. 479〉 Λητοΐδην εἰπὼν τὸν Ἀπόλλωνα, καὶ ἄλλοι πολλοὶ τῶν νεωτέρων· ὁ δὲ θειότατος Ὅμηρος τὸν 〈αἴτιον〉 τῆς γενέσεως ὀνομάζει· οὐδὲ ἀπὸ προγόνων σχηματίζει ὁ Ὅμηρος, εἰ μὴ ὁ πάππος εἴη Διὸς παῖς, ὡς Αἰακίδης καὶ τὰ ὅμοια. Κτητικὸν δέ ἐστι τὸ ὑπὸ τὴν κτῆσιν πεπτωκό ς]. Κινδυνεύει ἐκπεσεῖν τοῦ οἰκείου ὀνόματος τὸ κτητικόν. Φασὶ γάρ τινες πρὸ τῆς ἐξηγήσεως διὰ τί, ὥσπερ ἀπὸ τοῦ φύσις γέγονε φυσικός φυσική φυσικόν καὶ ἀπὸ τοῦ φθίσις φθισικός φθισική φθισικόν, οὐκ ἐγένετο 〈ἀπὸ τοῦ〉 κτῆσις κτησικός κτησική κτησικόν, ἀλλὰ κτητικόν. Πρὸς οὕς φαμεν, ὅτι οὐκ ἦν τοῦτο παρώνυμον, ὡς τὰ ἄλλα, ἀπὸ ῥήματος δὲ γέγονεν· ὥσπερ γὰρ ἀπὸ τοῦ βέβλαπται λέγομεν βλαπτικός καὶ ἀπὸ τοῦ λέλεκται λεκτικός, οὕτω καὶ ἀπὸ τοῦ κέκτηται κτητικός κτητική κτητικόν φαμεν γεγενῆσθαι ἐκ παθητικοῦ παρακειμένου. Δεύτερον δὲ τέτακται, ἐπειδὴ οὐ μόνον ἀπὸ κυρίων γίνεται, ὡς Νεστόρειος, ἀλλὰ καὶ ἀπὸ προσηγορικῶν, ὡς ὑϊκός. Κτητικὸν δέ ἐστιν ὃ ἐκ γενικῆς κυρίου ἢ προσηγορικοῦ γενόμενον εἰς τὴν γενικὴν αὐτοῦ ἀναλύεται μετά τινος τῶν ὑπὸ τὴν κτῆσιν ἄγεσθαι δυναμένων. Διαφορὰν δὲ ἔχει πρὸς τὸ πατρωνυμικόν, ὅτι ἐκ μόνων κυρίων γίνεται τὸ πατρωνυμικόν, τὸ δὲ κτητικὸν ἐκ κυρίων καὶ προσηγορικῶν, καὶ ὅτι τὸ πατρωνυμικὸν ἐν μιᾷ φωνῇ δηλοῖ τὸν πατέρα καὶ τὸν υἱόν, τὸ δὲ κτητικὸν ἀπαιτεῖ τὰς δύο φωνάς, τόν τε κτήτορα καὶ τὸ κτῆμα.

370 Λέγουσι 〈δέ〉 τινες, ὅτι εἰ τὸ πατρωνυμικὸν καὶ τὸ κτητικὸν γενικῇ συντάσσεται καὶ ὁμόσημά ἐστι—Πηλείδης γὰρ καὶ Πηλήϊος 〈ὁ τοῦ Πηλέωσ〉—, περιττὸν τὸ γράψαι περὶ κτητικοῦ. Πρὸς οὕς φαμεν, ὅτι εἰ καὶ μίαν ἔχουσι γένεσιν, τὴν γενικήν, ἀλλ' οὐχ ἑνὸς εἴδους, ἀλλὰ τὸ μὲν ἀπὸ μόνου κυρίου, τὸ δὲ ἀπὸ κυρίου καὶ προσηγορικοῦ. Ἐμπεριειλημμένου τοῦ κτήτορο ς , οἷον Νηλήϊοι ἵππο ι , Ἑκτόρεος χιτώ ν.] Ἐκεῖνο κτητικόν ἐστιν ὄνομα τὸ ἐμπεριεχόμενον 〈τὸ〉 τοῦ δεσπότου, οὐχὶ 〈τὸ〉 τοῦ κτήματος· ὅταν δὲ ὁριστικῶς τὸ κτῆμα δηλῶσαι βουληθῶμεν, προστίθεμεν καὶ τὸ τοῦ κτήματος ὄνομα, τουτέστι Πλατωνικὸν βιβλίον ἢ χωρίον ἤ τι τοιοῦτον τὸ ὑπὸ τὴν κτῆσιν πεπτωκός, 〈ὃ〉 λέγει τὸ κτῆσιν σημαῖνον, ὥσπερ κληρωθὲν ὄνομα εἰς τὴν δήλωσιν τοῦ τε κτήτορος καὶ τοῦ κτήματος. Ὁ μέντοι Ὅμηρος ἀντὶ τοῦ πατρωνυμικοῦ τῷ κτητικῷ χρῆται, ὡς τὸ 〈ex gr. N 76〉 Τελαμώνιος Αἴας καὶ 〈B 20〉 Νηληΐῳ υἷι ἐοικώ ς· κτῆμα γὰρ ὡς ἀληθῶς ὁ παῖς τῷ πατρί. Λέγεται δὲ κτητικὸν καὶ τὸ ὅμοιον τῷ ὑπὸ τὴν κτῆσιν πεπτωκότι. Εἴδη δὲ τοῦ κτητικοῦ ταῦτα, οἰκειωτικόν, μετουσιαστικόν, συνεμφαντικόν· οἰκειωτικὸν μέν, ὡς Ὀλύμπιος θαλάττιος, μετουσιαστικὸν δέ, ὡς ἀργύρεος χρύσεος, συνεμφαντικὸν δέ, ὡς γραμματικός γεωμετρικός. Τύποι δὲ τοῦ κτητικοῦ δύο, ὁ εἰς ος λήγων καθαρὸν καὶ ὁ εἰς κος . Τούτων οὖν τῶν δύο τύπων ὁ μὲν εἰς ος λήγων καθαρὸν ἢ τῷ ι παραλήγεται, οἷον Δήλιος Σάμιος λόγιος, 〈ἢ τῷ ε , ὡς Ἑκτόρεος,〉 ἢ τῇ ει διφθόγγῳ, ὡς Ἡράκλειος Ὁμήρειος Κεῖος θεῖος, ἢ τῇ αι διφθόγγῳ, ὡς Ῥωμαῖος Κυρηναῖος, ἢ τῇ οι διφθόγγῳ, ὡς ἀλλοῖος παντοῖος, ἢ τῇ ῳ διφθόγγῳ, ὡς παππῷος πατρῷος ἡρῷος. Τῆς τῶν πρωτοτύπων γενικῆς ἢ μιᾷ πλεονάζει συλλαβῇ ἢ δύο κατὰ τὸ σπάνιον· καὶ μιᾷ μέν, ὡς ἐν τοῖς ἄνω εἰρημένοις ὑποδείγμασιν, δύο δέ, ὡς ἐν τῷ ὀβολιαῖος ταλαντιαῖος· οὐδέποτε δὲ τρισὶ πλεονάζει συλλαβαῖς, εἰ μὴ ἐν τῷ μναϊαῖος μόνῳ· ἐξ ἀνάγκης δέ, τοῦ γὰρ μνᾶ τὸ α τραπῆναι εἰς ι οὐκ ἐνῆν. Τὸ Χῖος δῖος Κεῖος θεῖος ἐν πάθει γέγονεν· οὐδέποτε γὰρ ἰσοσυλλαβεῖ τῇ γενικῇ τοῦ πρωτοτύπου, εἰ μὴ πεπονθὸς εἴη, ὡς ἐν τῷ δῖος, δίιος γὰρ ἦν, καὶ ἐν τῷ Χῖος. Χίιος γὰρ ἦν, καὶ ἐν τῷ Κεῖος· ἀπὸ γὰρ τῆς Κέω γενικῆς Κέϊος ἦν τὸ ἐντελές, καὶ κατὰ συναίρεσιν ἐγένετο Κεῖος· καὶ ἀπὸ τῆς θεοῦ γενικῆς θέϊος ὀφεῖλον εἶναι κατὰ συναίρεσιν θεῖος ἐγένετο. Ὁ δὲ εἰς κος τύπος παραλήγεται ἢ τῷ ι βραχεῖ, ὡς Ἑλληνικός Αἰολικός μουσικός Ῥωμαϊκός, ἢ τῷ α , ὡς Ῥοδιακός Κυπριακός, ἢ τῷ υ , σπανίως δέ, ὡς Λιβυκός θηλυκός ἁλυκός [καὶ τἄλλα], ἐν τούτοις τοῖς τρισὶ μόνον.

371 Ἰστέον δὲ ὅτι οὐδέποτε τὰ εἰς κος διφθόγγῳ παραλήγεται· καὶ διὰ τοῦτο σημειούμεθα τὸ κεραμεικός βοεικός Δαρεικός Δεκελεικός. Πλατωνικὸν βιβλίο ν.] Τὰ γὰρ εἰς ικος , φασί, δηλοῦσι τοὺς 〈λόγους τοὺς περί τινος ἔχοντας· οὕτως γὰρ λέγειν τοὺσ〉 ἕξιν τινὰ ἔχοντας περὶ τὴν ἑρμηνείαν τῶν βιβλίων. Καὶ Ἅβρων δὲ ἐν τῷ περὶ κτητικῶ ν· «τὸ Φιλιππικοί», φησίν, «οἱ περὶ Φιλίππου 〈περι〉 ἔχοντες, καὶ οὐχὶ κτῆμα ὄντες, Φιλίππου δηλονότι· οὗτοι γὰρ ἐλέγοντο ἂν Φιλίππιοι». Συγκριτικὸν δέ ἐστι τὸ τὴν σύγκρισιν ἔχο ν.] Πάλιν φασί τινες, εἰ ἀπὸ τοῦ φύσις γέγονε φυσικός φυσική φυσικόν καὶ ἀπὸ τοῦ φθίσις φθισικός φθισική φθισικόν, διὰ τί μὴ καὶ ἀπὸ τοῦ σύγκρισις 〈συγκρισικόν〉 · οὐ γάρ ἐστι συγκρισικόν, ἀλλὰ συγκριτικόν. Πρὸς οὕς φαμεν, ὡς οὐκ ἔστι ταῦτα παρώνυμα, ἀλλὰ ἀπὸ ῥήματος γεγονότα· ὥσπερ γὰρ ἀπὸ τοῦ διέζευκται εἴρηται διαζευκτικός, οὕτως καὶ ἀπὸ τοῦ συγκέκριται συγκριτικόν. Τρίτον δὲ ἀναγκαίως τέτακται, ἐπειδὴ μήτε ἀπὸ κυρίων μήτε ἀπὸ προσηγορικῶν γίνεται, ἀλλ' ἀπὸ μόνων ἐπιθέτων, καὶ τούτων οὐ πάντων, ἀλλ' ἐκείνων τῶν δυναμένων ἐπίτασιν ἀναδέξασθαι, οἷον ταχύτερος σοφώτερος· ἡ γὰρ σύγκρισις τῶν πρωτοτύπων ἐπαύξησις· ὅσα τοίνυν οὐ δύναται ἐπαύξεσθαι, συγκριτικὸν οὐ ποιεῖ· οἷον ῥήτωρ, ἐπειδὴ τὸν τέλειον ῥήτορα δηλοῖ, οὐ δέχεται ἐπαύξησιν, ὅταν δὲ εἴπωμεν ῥητορικός, ὁ μετέχων ῥητορικῆς, ἐπεὶ ἐνδέχεται μικρὸν μετέχειν καὶ πολὺ λέγομεν ἐπὶ μὲν τοῦ μικρὸν μετέχοντος ῥητορικός, ἐπὶ δὲ τοῦ πολὺ ῥητορικώτερος· ὁμοίως καὶ τὸ ἰατρός, ἐπειδὴ τὸν τέλειον ἰατρὸν δηλοῖ, οὐ δέχεται ἐπαύξησιν, ὅταν δὲ γένηται ἰατρικός, τότε λέγομεν ἰατρικώτερος· καὶ γραμματικός καὶ γραμματικώτερος. Καὶ τούτου χάριν τὸ ἀγαθός σύγκρισιν οὐκ ἐπιδέχεται· ὃ γὰρ ἤμελλεν αὐτῷ παρέχειν ἡ σύγκρισις, τοῦτο ἔχει ἀφ' ἑαυτοῦ· τίς γάρ ἐστιν ἀγαθός; ὁ ἄγαν θεῖος. — Γίνεται δὲ τὸ συγκριτικὸν προϋποκειμένου τοῦ ἐν συγκρίσει πράγματος, οἷον «ἀνδρειότερος Ἀχιλλεὺς Αἴαντος» προϋποκειμένης τῆς ἀνδρείας, καὶ «σοφώτερος Ὀδυσσέως Νέστωρ» προϋποκειμένης τῆς σοφίας· οὐ γὰρ εἴπομεν «σοφώτερος Σωκράτης Κοροίβου», ἀλλὰ τὸν μὲν σοφόν, τὸν δὲ ἀνόητον. Πάλιν δέ ἐστιν ἡ σύγκρισις ἑνὸς πρὸς ἕνα ὁμοιογενῆ ἢ ἑνὸς πρὸς πολλοὺς ἑτερογενεῖς, ἵνα μὴ πολλοὺς ὁμοιογενεῖς ὑβρίσωμεν· ὅταν οὖν εὕρωμεν σύγκρισιν ἑνὸς πρὸς πολλοὺς ὁμοιογενεῖς, ἐκεῖνοι πάντως εἰσὶ μιᾶς ἡλικίας ἢ ἑνὸς τόπου, ἵνα πάλιν ὑπολάβωμεν ἑνὸς πρὸς ἕνα τὴν σύγκρισιν γίνεσθαι, οἷον 〈Ι 57〉 ἐμὸς δέ 〈κε〉 καὶ πάϊς εἴης Ὁπλότερος γενεῆφ ι· μιᾶς 〈γὰρ〉 γενεῆς οἱ παῖδες τοῦ Νέστορος καὶ Διομήδης· καὶ πάλιν 〈Ε 898〉 καί κεν δὴ πάλαι ἦσθα ἐνέρτερος Οὐρανιώνω ν· ἐν ἑνὶ γὰρ τόπῳ εἰσὶ τῷ Ταρτάρῳ.

372 —Παράγονται δὲ τὰ συγκριτικὰ ἀπὸ ὀνομάτων, οἷον ὀξύς ὀξύτερος, καὶ ἀπὸ ῥημάτων, βάλλω βέλτερος, καὶ ἀπὸ μετοχῆς, ἄσμενος ἀσμενέστερος, καὶ ἀπὸ προθέσεως, πρό πρότερος, καὶ ἀπὸ ἐπιρρήματος, ἄνω ἀνώτερος· ἀπὸ 〈δὲ〉 ἄρθρου οὐ παράγονται, οὐδὲ ἀπὸ ἀντωνυμιῶν, οὐδὲ ἀπὸ συνδέσμων. Συγκριτικὸν τοίνυν ἐστὶν ὃ παρωνύμως ἐξενεχθὲν μετὰ τοῦ μᾶλλον ἢ ἧττον εἰς τὸ πρωτότυπον ἀναλύεται ἢ εἰς τὸ μετειληφὸς τοῦ πρωτοτύπου, οἷον ταχύτερος ὁ μᾶλλον ταχύς. Τρίτον δέ ἐστι τῇ τάξει, ἐπειδὴ ἐξ ἐπιθέτων γίνεται, οὐ κυρίων οὐδὲ προσηγορικῶν. Ἡ δὲ σύγκρισις τῶν πρωτοτύπων ἐστὶν ἐπαύξησις, τὸ δὲ συγκριτικὸν γενικῇ συντασσόμενον δηλοῖ τὴν σύγκρισιν, νεώτερος ὅδε τοῦδε· μὴ ἔχον δὲ τὴν γενικὴν ἀντὶ τοῦ πρωτοτύπου ἐστί, νεώτερος ἀντὶ τοῦ νέος, 〈Δ 277〉 μελάντερον ἠύτε πίσσα ἀντὶ τοῦ μέλαν. Ἰστέον δὲ ὅτι ἴδιον τοῦ συγκριτικοῦ τὸ ἀναλύεσθαι εἰς εὐθεῖαν μετὰ τοῦ μᾶλλον· ὀξύτερος γὰρ ὁ μᾶλλον ὀξύς. — Ἑνὸς πρὸς ἕνα ὁμοιογεν ῆ , ὡς Ἀχιλ 〈λ〉 εὺς ἀνδρειότερος Αἴαντο ς , ἢ ἑνὸς πρὸς πολλοὺς ἑτερογενεῖ ς , ὡς Ἀχιλ 〈λ〉 εὺς ἀνδρειότερος τῶν Τρώω ν.] Ἑνὸς πρὸς ἕνα ὁμοιογενῆ. Οἱ παλαιοὶ αἰσχρὸν ἡγοῦντο ἕνα προκρῖναι πάντων τῶν ὁμοφύλων· διό φησιν ἑνὸς πρὸς ἕνα· ἐπὶ ἑτεροφύλων δὲ καὶ ἑνὸς πρὸς πολλοὺς ἐποιοῦντο σύγκρισιν. Εἰ δέ που εὕροις ἐν ὀνόμασι κυρίοις ἢ ἀντωνυμίαις τὸ τοιοῦτον, παραγωγὴν ἴσθι λεγόμενον καὶ οὐ σύγκρισιν, ὥσπερ ἔστι παρὰ Ἀριστοφάνει 〈Plut. 83〉 τὸ αὐτότατος καὶ παρὰ Μενάνδρῳ 〈fr. 986 K〉 τὸ

αὐταιτιώτατο ς· τὸ δὲ αὐτότερος παρ’ Ἐπιχάρμῳ 〈fr. 2 Ahr.〉 πέπαικται. —Ἄξιον δέ ἐστι ζητῆσαι, τίνος ἕνεκα Ἕλληνα πρὸς Ἕλληνα προῆγεν εἰς σύγκρισιν, πολλοὺς δὲ Τρῶας πρὸς ἕνα Ἕλληνα. Φαμὲν ὅτι φιλέλλην ὢν ὁ ποιητὴς προσεχαρίσατο, βουλόμενος σεμνῦναι τὸ πᾶν γένος τῶν Ἑλλήνων. Ὡς ἔφην δέ, οὐκ ἔστιν εἰκῇ 〈πάντων〉 ποιεῖσθαι τὴν σύγκρισιν· οὔτε γὰρ ζωγράφου καὶ τέκτονος σύγκρισις γίνεται, ἀλλὰ δύο τινῶν ἢ καὶ πλειόνων τοῦ αὐτοῦ ἐπιτηδεύματος μετεχόντων, ὡς «Ἀχιλλεὺς ἀνδρειότερος Αἴαντος». 〈Heliodori.〉 —Ἔστι τι πρωτότυπον ταχύς, εἶτα ταχύτερος ταχίων θάσσων· τὸ τ εἰς τὸ ἀντίστοιχον μεταβληθὲν θ , ἀντὶ γὰρ τοῦ τάσσων θάσσων ἐγένετο· καὶ πάλιν βραδύς βραδύτερος βραδίων βράσσων, ὡς τὸ 〈Κ 226〉 βράσσων τε νόο ς , λεπτὴ δέ τε μῆτι ς. Τὸ δὲ ἀμείνων καὶ τὸ μείζων καὶ τὸ χείρων κατὰ πάθος ἐγένετο· τῷ μὲν ἀμείνων τὸ ν δι’ εὐφωνίαν προστεθέν, ἀμείων γὰρ ἦν, ὁ μηδενὸς ἐλάττων· τὸ δὲ μείζων ἀπὸ τοῦ μέγας μεγάτερος μεγίων μέσσων, καὶ τροπῇ τοῦ ε εἰς τὴν ει δίφθογγον καὶ τῶν δύο σιγμάτων εἰς τὸ ζ μείζων, ὡς Ἡσίοδος 〈Opp.
373 380〉 πλείων μὲν πλεόνων μελέτ η , μείζων δ ’ ἐπιθήκη, τοῦ ζ ἀντὶ τοῦ γ δι’ εὐφωνίαν πάλιν προστεθέντος· ὡσαύτως καὶ ἐπὶ τοῦ χείρων, καὶ γὰρ τοῦτο ἀπὸ τοῦ χερείων συγκοπὴν ὑπέμεινεν. Πόσοι τύποι τῶν συγκριτικῶν; Τρεῖς· ὁ εἰς τερος , ὡς ὀξύτερος βραδύτερος· ὁ εἰς ων καθαρός, εἰ μὲν εἴη τρισύλλαβος, τῷ ι μόνῳ παραλήγεται, οἷον καλλίων βελτίων, εἰ δὲ δισύλλαβος, τῇ ει διφθόγγῳ, οἷον πλείων μείων [μείζων χείρων]· καὶ ὁ εἰς σων μὴ καθαρὸς διὰ δύο σιγμάτων, οἷον θάσσων κρείσσων ἥσσων. 〈Heliodori.〉 —Προτέτακται τοίνυν ὁ εἰς τερος τύπος, ὅτι τὴν τοῦ πρωτοτύπου σχεδὸν πᾶσαν φυλάττει φωνήν, οἷον ὀξύς ὀξύτερος· δεύτερος δὲ τέτακται ὁ εἰς ων καθαρός, ὅτι παρὰ δύο μόνα στοιχεῖα φυλάττει τὴν τοῦ πρωτοτύπου φωνήν, οἷον βραδύς βραδίων, ταχύς ταχίων· οὐ χρὴ δὲ ἀγνοεῖν, ὅτι ὁ εἰς ων καθαρὸς τύπος, εἰ μὲν εἴη τρισύλλαβος, τῷ ι μόνῳ παραλήγεται, ταχίων βραδίων, σεσημειωμένου τοῦ ἀρείων χερείων, εἰ δὲ δισύλλαβος εἴη, τῇ ει διφθόγγῳ παραλήγεται, πλείων μείων· τρίτος τύπος ὁ εἰς σων , ὅτι πᾶσαν τὴν 〈λήγουσαν〉 συλλαβὴν τοῦ πρωτοτύπου ἀποβάλλει, βραδύς βράσσων, ταχύς θάσσων. Τί ἐστιν ὑπερθετικόν; Τὸ κατ’ ἐπίτασιν ἑνὸς πρὸς πολλοὺς παραλαμβανόμενον ἐν συγκρίσει, οἷον ὀξύτατος βραδύτατος. Τί ἐστιν ὑπέρθεσις; Ἡ τῶν συγκριτικῶν ἐπίτασις. 〈Heliodori.〉 —Ὑπερθετικόν ἐστιν ὃ μετὰ τῆς ἐννοίας τῆς τοῦ πρωτοτύπου ἔχει τὴν κατὰ πάντας ἐπίτασιν· καὶ ἡ μὲν σύγκρισις τῶν πρωτοτύπων ἐστὶν ἐπίτασις ἢ αὔξησις, ἥ γε μὴν ὑπέρθεσις αὐτῶν τῶν συγκριτικῶν ἐπίτασις τελεία· διὸ καὶ πρὸς πολλοὺς πάντως γίνεται· οἷον ταχύς μὲν τὸ πρωτότυπον, ταχύτερος δὲ ὁ τοῦ ταχέος βελτίων ἐν τάχει, ταχύτατός γε μὴν ὁ τοῦ ταχυτέρου πάντως ἀμείνων ἐν τάχει· διὰ τοῦτο οὐδὲ ἐπίτασιν ἐπιλαμβάνει τὸ ὑπερθετικόν· τοιοῦτόν ἐστι καὶ τὸ μέγα μεῖζον μέγιστον, τὸ μὲν γὰρ μέγα πρωτότυπον, τὸ δὲ μεῖζον συγκριτικόν, τὸ δὲ μέγιστον ὑπερθετικόν· καὶ τὸ τάχιστον δὲ τῷ τάχει ἀνεπίτατον ταὐτὸν δηλοῖ, τὰ γὰρ τέλεια τῶν μεγεθῶν οὐκ ἐπεκτείνεται. Ἐξ ὁμοιοειδῶν δὲ γίνονται αἱ ὑπερθέσεις, ὥσπερ καὶ αἱ συγκρίσεις, οἷον «πάντες μὲν ταχεῖς, οὗτος δὲ ταχύτατος, πάντες σοφοί, οὗτος δὲ σοφώτατος».

374 Ἐὰν οὖν ἀναγνῷς τὸ 〈cfr Χ 15〉 θεῶν ὀλοώτατος καὶ 〈Λ 832〉 δικαιότατος Κενταύρων, μὴ ὑπολάβῃς ὅτι φύσει ἐστὶν ὑπερθετικόν· οὐκ ἔχεις γὰρ δεῖξαι, ὅτι οἱ ἄλλοι θεοὶ ὀλοοί εἰσιν, οὐδὲ οἱ ἄλλοι Κένταυροι δίκαιοι ἐτύγχανον· ἀλλὰ ἀνάγνωθι, ὅτι ἀντὶ τοῦ ὀλοὸς ἐν θεοῖς καὶ δίκαιος ἐν Κενταύροις παραλαμβάνεται, καὶ ὅτι σύγκρισιν μὲν οὐ ποιοῦμεν ἑνὸς πρὸς πολλοὺς ὁμοιογενεῖς, ὑπέρθεσιν δὲ ἀποτελοῦμεν. Διὰ τί; Ὅτι τὸ ὑπερθετικὸν τὸ πάντων ὑπερέχειν ἐπαγγέλλεται, τινὰ δὲ καὶ ἐν ἴσῳ λόγῳ παραλαμβάνεται, οἷον ἀρίστη ἡ ἰατρική, ἀρίστη 〈δὲ〉 καὶ ἡ γραμματική· τοιαῦτα καὶ τὰ παρὰ τῷ ποιητῇ 〈Ν 365〉 ᾔτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστη ν , 〈Κασσάνδρην 〉 , καὶ 〈Ζ 252〉 Λαοδίκην ἐσάγουσ α , θυγατρῶν εἶδος ἀρίστη ν. Λέγεται δὲ ὑπερθετικὸν τὸ ὑπὲρ πάντας ἔχον τὰ τῆς συγκρίσεως· τὸ γὰρ ἀνδρειότερος ἢ ἑνὸς ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πέντε ἢ δέκα, τὸ δὲ ἀνδρειότατος οὐ μέχρις ἀριθμοῦ ὡρισμένου διατείνει, ἀλλὰ καθόλου πάντων ὁμοῦ ἀνθρώπων [καὶ] τῶν τὸ αὐτὸ ἐπιτηδευόντων· πάλιν δὲ λέγομεν ὑπερθετικὸν τὸ ὑπὲρ πάντας ἔχον τὴν ὑπέρθεσιν ἐν ὁμοιογενέσιν, οἷον «ἀνδρειότατος ὁ Ἀχιλλεὺς πάντων τῶν Ἑλλήνων, σοφώτατος ὁ Ὀδυσσεὺς πάντων τῶν ἀνθρώπων». Ἰστέον δὲ ὅτι τὸ ὑπερθετικὸν διαφέρει κατὰ πολλὰ τοῦ συγκριτικοῦ, ὅτι ἐκεῖνο μὲν ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, τοῦτο δέ ἐστι [τὸ] ἀνεπίτατον, καὶ 〈ὅτι〉 ἐκεῖνο μὲν τρεῖς ἔχει τύπους, τοῦτο δὲ δύο· καὶ [ὅτι] ὁ μὲν εἰς τερος συγκριτικὸς τύπος ποιεῖ τὸν εἰς τατος , ὁ δὲ εἰς ων καθαρὸν τὸν εἰς στος —ὁ γὰρ τρίτος τύπος οὐ ποιεῖ ὑπερθετικόν, ὅτι σχεδὸν πᾶσαν τὴν τοῦ πρωτοτύπου φωνὴν ἀπώλεσεν—οἷον ταχύτερος ταχύτατος, ταχίων τάχιστος, βελτίων βέλτιστος. Γινώσκειν δὲ χρὴ ὅτι ὁ εἰς στος τύπος, εἰ μὲν εἴη δισύλλαβος, διφθόγγῳ παραλήγεται, εἰ δὲ ὑπὲρ δύο συλλαβάς, τῷ ι μόνῳ, καὶ τοῦ μὲν πρώτου τύπου πλεῖστος, τοῦ δὲ δευτέρου κάλλιστος· διὰ τοῦτο τὸ χέριστος καὶ ἄριστος ἀποβάλλει τὴν δίφθογγον τοῦ συγκριτικοῦ, ἵνα τῷ ι αὐτὸ παραληφθῇ. Τί ἐστιν ὑποκοριστικόν; Τὸ μείωσιν τοῦ πρωτοτύπου ἀσυγκρίτως δηλοῦ ν , οἷον ἀνθρωπίσκος λίθαξ μειρακύλλιο ν.] — 〈Heliodori.〉 —Ὑποκοριστικὸν γίνεται ἀπὸ τοῦ κόρη κορίζω κορισμός, καὶ ἐν πλεονασμῷ ἢ συνθέσει τῆς ὑπό ὑποκορισμός· ἢ μᾶλλον οὕτως, κορίζω ὑποκορίζω ὑποκορισμός, ὅ ἐστιν ὄνομα σμικρότητος ἐμφαντικὸν 〈κόροισ〉 καὶ κόραις μᾶλλον ἐοικός.

Λαμβάνεται δὲ ἕνεκεν τοῦ πρέποντος, ὡς παρὰ Ἀλκμᾶνι· κόραι γὰρ αἱ λέγουσαι· ἢ τοῦ χρειώδους, οἷον «ἱππάριόν μοι χάρισαι»· μειῶ γὰρ τὸ ζητούμενον, ἵνα ἑτοιμότερον εἰς τὸ δοῦναι ποιήσω τὸν ἔχοντα· ἢ τοῦ γελοίου χάριν, ὡς Πριαμιλλύδριον ὁ Πρίαμος. Παρὰ δὲ τῷ ποιητῇ οὐκ ἂν εὑρεθείη ὑποκοριστικόν· ἡρωϊκὰ γὰρ τὰ παρ’ αὐτῷ καὶ ἐπηρμένα, τουτέστι λαμπρὰ καὶ ὑπέρογκα, ὡς ἐνταῦθα 〈ex. gr. H 219〉 Αἴας δ ’ ἐγγύθεν ἦλθε φέρων σάκος ἠύτε πύργο ν· διὸ παρὰ τῷ ποιητῇ 〈ἡρωϊκὰσ〉 διεξιόντι πράξεις σπανίως ἔστιν εὑρεῖν ὑποκοριστικόν· τὸ γὰρ 〈ἴχνιον ὡς ἐν τῷ〉 〈N 71〉 ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων ῥηματικόν ἐστι καὶ οὐχ ὑποκοριστικόν· ἀλλὰ καὶ εἴ που ἐμπέσοι ὁ ποιητὴς εἰς φωνὴν ὑποκοριστικήν, δι’ ἐπιθέτου αὐτὴν ἐξαιρεῖ, ὡς ἐν τῷ 〈κ 171〉 μάλα γὰρ μέγα θηρίον ἦε ν. Τί γοῦν τὸ τειχίον 〈καὶ〉 τὸ ἑρκίον; Οὐχ ὑποκοριστικά· διάφορον γὰρ τὸ δηλούμενον, τεῖχος καὶ ἕρκος ἐπὶ πόλεων, τειχίον δὲ καὶ ἑρκίον ἐπὶ ἐπαύλεων· πῶς δὲ μείωσις, ὅπου τὸ μέγα; 〈π 165〉 πα ρ ’ ἐκ μέγα τειχίον αὐλῆ ς· οὕτω καὶ τὸ 〈θηρίον〉 〈κ 171〉 〈 μάλα γὰρ μέγα〉 θηρίον ἦε ν· καὶ τὸ μηρίον διάφορον· μηρία γὰρ τὰ ἐναγιζόμενα τοῖς θεοῖς, μηροὶ δὲ τὰ μὴ οὕτως ἔχοντα· οὐδὲ τὸ ὀγκίον, οὐ γὰρ τοῦ ὄγκος μείωσις· οὐδὲ τὸ ἴχνιον, 〈N 71〉 ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάω ν· καὶ 〈γὰρ〉 περὶ αὐτοῦ 〈φησι〉 〈N 20〉 τρὶς μὲν ὀρέξα τ ’ ἰώ ν , τὸ δὲ τέτρατον ἵκετο τέκμω ρ , Αἰγά ς. Μάχεται καὶ ὁ τόνος· τὰ γὰρ εἰς ιον ὑποκοριστικὰ τρισύλλαβα ἀρχόμενα ἀπὸ βραχείας προπαροξύνεται, ἀπὸ δὲ μακρᾶς παροξύνεται, στόλιον πόδιον χέριον σάκιον, ὅτε δι’ ἑνὸςκ · ὅτε δὲ διὰ δύο, παροξύνεται, σακκίον· κορρίον διὰ δύο ρρ [πρὸ μιᾶς τοῦ τέλους ὁ τόνος] παρὰ τοῖς Ἀττικοῖς, κόριον δὲ δι’ ἑνός· νῦν μά ν , ὦ κόριον, Θεόκριτος 〈11, 60〉 . Τὸ μείωσιν τοῦ πρωτοτύπο υ. Τὸ «μείωσιν τοῦ πρωτοτύπου» ἀντὶ τοῦ ἐλάττωσιν τοῦ πρὸ αὐτοῦ· «ἀσυγκρίτως» δέ, τουτέστιν ἄνευ συγκρίσεως· οὐ γάρ φαμεν «ἀνθρωπίσκος ἐστὶν οὗτος ἐκείνου», ἀλλ’ «ἐκεῖνος, ὁ δεῖνα λίθαξ ἐστίν». Εἴρηται δὲ ὑποκοριστικὸν παρὰ τοὺς κόρους, τουτέστι τοὺς μικροὺς νέους, ἤτοι τὰς κόρας· τούτους γὰρ πολλάκις ἢ ταύτας ὑποθωπεύοντες τοιούτοις κεχρήμεθα ὀνόμασιν, ὡς ἂν εἴπωμεν περὶ θηλειῶν παρὰ Μενάνδρῳ 〈fr. 1041 K〉 νηττάριον, ἀπφάριον, καὶ περὶ ἄλλων. Γίνονται δὲ ἀπὸ τῶν εἰς 〈 κ〉 ος κτητικῶν κατὰ πλεονασμὸν τοῦ ς , πυργίσκος ὁ μικρὸς πύργος, καὶ ἀπὸ τοῦ ἰατρός ἰατρίσκος· γίνεται δὲ καὶ εἰς ξ , ὡς καὶ αὐτὸς ὁ τεχνικὸς λέγει, ὅταν ὁ λίθος κληθῇ λίθαξ [τὸ γὰρ συγκριτικὸν καὶ ὑπερθετικὸν αὔξησις· τοῦ γοῦν λίθου τὸ ὑποκοριστικὸν λίθαξ ἐστί], καὶ Ὅμηρος 〈ε 415〉 μή πώς μ ’ ἐκβαίνοντα βάλῃ λίθακι προτὶ πέτρ η.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

376 Τύποι δὲ τῶν ὑποκοριστικῶν ἀρσενικῶν 〈μὲν〉 ἕξ· ὧν ὁ μὲν πρῶτος ὁ εἰς ων ἐστὶ δισύλλαβος, ὡς Βάκχων ἐστὶν ὁ Βακχυλίδης· ὁ δὲ δεύτερος ὁ εἰς ων καθαρός, παραλήγοντος τοῦ ι , ὡς μωρίων ὁ μωρός· ὁ δὲ τρίτος ὁ εἰς αξ , ὡς Ῥόδιος Ῥόδαξ καὶ πλούσιος πλούταξ· ὁ δὲ τέταρτος ὁ εἰς ας , ὡς [Ζήνων] Ζηνᾶς ὁ Ζηνόδωρος· ὁ 〈δὲ〉 πέμπτος ὁ εἰς σκος , ὡς γραμματίσκος ὁ γραμματικός καὶ ἰατρίσκος ὁ ἰατρός καὶ πυργίσκος ὁ πύργος· ὁ 〈δὲ〉 ἕκτος ὁ εἰς λος , τῷ υ ἢ τῷ ι παραληγόμενος, ὡς δριμύλος ὁ δριμύς καὶ ναυτίλος ὁ ναύτης. Τῶν δὲ θηλυκῶν τρεῖς εἰσι τύποι· ὁ εἰς ω , οἷον Ὑψώ ἡ Ὑψιπύλη, καὶ ὁ εἰς ις , ὡς λυρίς ἡ λύρα καὶ θεραπαινίς ἡ θεράπαινα καὶ περιστερίς ἡ περιστερά, καὶ τρίτος ὁ εἰς σκη , ὡς λεκανίσκη ἡ λεκάνη καὶ παιδίσκη ἡ παῖς. Τῶν δὲ οὐδετέρων μία μέν ἐστιν ἡ εἰς ον κατάληξις· ἔχει δὲ παραλήξεις δέκα· ἢ γὰρ τῇ νι παραλήγεται, ὡς κανόνιον ὀψώνιον, ἢ τῇ δι , ὡς παιδίον χλανίδιον, ἢ τῇ ρι , ὡς ξυλάριον, ἢ τῇ δρι , ὡς μελύδριον ἑλκύδριον, ἢ τῇ λι , ὡς μειρακύλλιον Πριαμύλλιον, ἢ τῇ φι , ὡς χρυσάφιον δενδρύφιον· ἐὰν οὖν τὸ πρωτότυπον ἔχῃ τὸ υ , τὸ ὑποκοριστικὸν φεύγει αὐτό· ἢ τῇ κι , οἷον μειράκιον, ἢ τῇ πι , οἷον ἀνθρώπιον τὸ ἀνθρωπάριον, ἢ τῇ χνι , οἷον πολίχνιον, ὃ δηλοῖ τὴν μικρὰν πόλιν, ἢ τῆ φυ διὰ τοῦ υ ψιλοῦ, οἷον ξυλήφυον ζωήφυον (sic). Τί ἐστι παρώνυμον; Τὸ ἀπὸ ὀνόματος ποιηθέ ν , οἷον Θέων Τρύφω ν.] — 〈Heliodori.〉 —Ζητοῦσί τινες, διὰ τί ἰδίως τοῦτο παρώνυμον κέκληται, τῶν ἄλλων εἰδῶν καὶ αὐτῶν ὄντων ἀπὸ ὀνομάτων παρηγμένων· ἀπὸ γὰρ τοῦ Ἀτρεύς Ἀτρείδης καὶ ἀπὸ τοῦ Νέστωρ Νεστόρειος. Καὶ λέγομεν ὅτι ἕκαστον τῶν ἄλλων εἰδῶν μίαν ἐχόντων σημασίαν ἐξ αὐτῆς καὶ ὠνομάσθη, ὡς τὸ πατρωνυμικόν· μόνον γὰρ πατέρα δηλοῖ, ὅθεν καὶ τῆς ὀνομασίας ἔτυχεν· ὁμοίως καὶ τὸ κτητικόν, ὅτι κτῆσιν μόνην ἐδήλου, καὶ τὸ συγκριτικόν, ὅτι σύγκρισιν, καὶ τὸ ὑπερθετικόν, 〈ὅτι〉 ὑπέρθεσιν· ὡσαύτως καὶ τὰ ἄλλα· τό γε μὴν παρώνυμον, καθὸ ἐδήλου πολλά, ἠπορήθη πόθεν ὀνομασθῇ· καὶ γὰρ περιεκτικά, ὡς ἄμπελος ἀμπελών, καὶ ἐθνικά, ὡς Ἀκράγας Ἀκραγαντῖνος, καὶ μετουσιαστικά, ὡς δέρμα δερμάτινος, καὶ κύρια, ὡς κράτος Κρατῖνος· ἐπεὶ τοίνυν πολλὰς εἶχε σημασίας, οὐκ ἠδύνατο ἐξ ἑνὸς τὴν ὀνομασίαν ἔχειν, ἀλλ' ἐκ τοῦ παρεπομένου πᾶσιν ἐκλήθη, τοῦ παρωνύμου· οἷόν τι καὶ ἐπὶ τῆς ὑποτακτικῆς γέγονεν· οὐ γὰρ ἐκ σημασίας, ἀλλ' ἐκ συντάξεως ὠνόμασται.

377 Τί γάρ φησι; Τὴν κοινὴν πάντων ὀνομασίαν, φημὶ δὴ τὴν παρώνυμον, ἰδικὴν ἐποιήσατο. Παρώνυμον δέ ἐστιν ὃ γέγονεν ἐξ ὀνόματος μηδενὶ τῶν ἄλλων ὑποπεπτωκός. Τύπους δὲ ἔχει κατὰ γένος ἄρρενας λε'. Οἷον Θέων Τρύφω ν.] Εἴ τις λέγοι, ὅτι πόθεν δῆλον, εἰ τὸ Θέων ἀπὸ τοῦ θεός ἐστιν ὀνόματος, καὶ οὐκ ἀπὸ τοῦ θέω ῥήματος, ὁμοίως καὶ τὸ Τρύφων εἰ ἀπὸ τοῦ τρυφή 〈ὀνόματοσ〉 , καὶ οὐκ ἀπὸ τοῦ τρυφῶ ῥήματος, εἰπέ, ὅτι ἡ κλίσις ἐλέγχει· τῶν γὰρ εἰς ων ληγόντων ὀνομάτων τὰ μὲν παρώνυμα διὰ τοῦ ω κλίνεται, τὰ δὲ ῥηματικὰ διὰ τοῦ ο , 〈Δίων Δίωνος,〉 ἐλεήμων ἐλεήμονος· ἐν οἷς οὖν καὶ τὸ Θέων καὶ τὸ Τρύφων διὰ τοῦ ω κλινόμενα δῆλον ὡς παρώνυμά ἐστιν. Τίνος δὲ ἕνεκα τὴν κοινὴν ὀνομασίαν etc. = Σ v 228, 14—24. Ποῖα καλοῦσιν οἱ φιλόσοφοι παρώνυμα; Τὰ μέσα τῶν ὁμωνύμων καὶ συνωνύμων κοινωνοῦντα καὶ διαφέροντα τῷ τε ὀνόματι καὶ τῷ ὅρῳ, ὡς ἀπὸ τῆς γραμματικῆς γραμματικός· κοινωνοῦσι γὰρ τῷ ὀνόματι καὶ διαφέρουσι κατὰ τὴν λῆξιν τῶν ὀνομάτων· καὶ πάλιν τῷ ὀνόματι κοινωνοῦσι, καὶ τῷ ὅρῳ διαφέρουσιν, ὅτι ἡ μὲν γραμματικὴ γνῶσίς ἐστιν, ὁ δὲ γραμματικὸς οὐσία ἐν ᾗ ἡ γνῶσις. Παρώνυμα δέ φασιν, ὅσα ἀπό τινος διαφέροντα τῇ πτώσει ἤγουν τῇ κλίσει τῶν ὀνομάτων καὶ τὴν προσηγορίαν ἔχουσιν. Ῥηματικόν ἐστι τὸ ἀπὸ ῥήματος παρηγμένο ν , οἷον Φιλήμων Νοήμω ν.] Ῥηματικόν ἐστιν ὄνομα, ὃ ἐκ ῥήματος γεγονὸς ἐνέργειαν ἢ πάθος δηλοῖ, οἷον ἀπὸ τοῦ πεποίηται γίνεται ποιητής, 〈ὁ ποιῶν τι, ὃ ἐνέργειαν δηλοῖ〉 , ἀπὸ δὲ τοῦ πεποίημαι ποίημα, τὸ ποιηθέν, ὃ πάθος δηλοῖ. —Ἰστέον ὅτι πᾶν ῥηματικὸν ὄνομα διὰ τοῦ μ λεγόμενον οἰκειοῦται τῷ πρώτῳ προσώπῳ παθητικῷ κατὰ τὸ σύμφωνον, διὰ δὲ τοῦ τ τῷ τρίτῳ, οἷον πέπραγμαι πρᾶγμα πολυπράγμων, πεποίηται ποιητής, πέπρακται πρακτός. —

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τύπους δὲ ἔχει ἐν ἀρσενικοῖς, ἐν θηλυκοῖς, ἐν οὐδετέροις ἐνενήκοντα. —Ἰστέον δὲ καὶ τοῦτο, ὅτι πᾶν ὄνομα ῥηματικὸν βούλεται τὰ τελευταῖα σύμφωνα τοῦ ῥήματος φυλάττειν· καὶ διὰ τοῦτο λέγομεν, ὅτι ποίημα 〈γέγονεν〉 ἐκ τοῦ πεποίημαι, τὸ δὲ ποιητής ἀπὸ τοῦ πεποίηται. — Δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι θέλει τὸ ὄνομα μέρος τι φυλάττειν τοῦ ῥήματος, ὥσπερ καὶ τὸ φερώνυμον Νοήμων· ἀπὸ γὰρ τοῦ νοήσω γίνεται Νοήμων, ἵνα τὴν παραλήγουσαν τοῦ ῥήματος φυλάξῃ ἐπὶ τοῦ ὀνόματος.

378 〈Heliodori.〉 — Σχήματα ὀνομάτων τρί α.] Σχῆμά ἐστι λέξεων ποσότης ὑφ’ ἕνα τόνον καὶ ἓν πνεῦμα ἀδιαστάτως ἀγομένη ἐν ἁπλότητι ἢ συνθέσει· καὶ ἄλλως· προφορὰ λέξεως ὑφ’ ἕνα τόνον καὶ ἓν πνεῦμα συντεθειμένη ἢ ἀσύνθετος. Καὶ ἁπλᾶ μέν ἐστιν ὅσα μὴ πέφυκε διαιρεῖσθαι εἰς δύο ἢ καὶ πλείονας λέξεις ἰδίᾳ νοητάς· σύνθετα δὲ τὰ ἐκ δύο ἢ καὶ πλειόνων λέξεων ἰδίᾳ νοητῶν συντεθειμένα, ἐν ἑνὶ τόνῳ καθ’ ἑνὸς ὑποκειμένου λαμβανόμενα. Εἶπον δέ «ἐκ δύο ἢ καὶ πλειόνων λέξεων γίνεται σύνθετα»· πολλάκις 〈γὰρ〉 καὶ ἀπὸ πλειόνων λέξεων γίνεται, ὡς τὸ χρυσολευκόλιθος καὶ τὸ 〈Aristoph. Ran. 966〉 σαλπιγγολογχυπηνάδης καὶ τὸ σαρκασμοπιτυοκάμπτης καὶ ὅσα ἄλλα παρὰ τοῖς κωμικοῖς πέπαικται. «Ἰδίᾳ» δὲ «νοητῶν» εἴπομεν καὶ οὐ «ῥητῶν», ἐπειδὴ τὸ ζαμενής σύγκειται μὲν ἐκ δύο, ἀλλὰ τὸ ζα οὐκ ἔστιν ἰδίᾳ ῥητόν, ἀλλὰ νοητόν· ὁμοίως καὶ τὸ βούπαις καὶ ἱππόπορνος καὶ δύσμορος καὶ αὐτὰ ἐκ δύο σύγκειται, ἀλλὰ τὸ βου καὶ τὸ ἱππο καὶ τὸ δυς οὐκ εἰσὶν ἰδίᾳ ῥητά, ἀλλὰ νοητά. Λέγονται δὲ σύνθετα καὶ οὐ διπλᾶ, διότι σύνθετα μὲν καλοῦμεν ἐκεῖνα τὰ ἐκ διαφόρων οὐσιῶν συγκείμενα, ὥς που καὶ τὰ ἐκ διαφόρου ὕλης κατασκευαζόμενα σκεύη σύνθετα καλοῦμεν, διπλᾶ δὲ τὰ ἐκ μιᾶς οὐσίας ὄντα καὶ διπλασιασθῆναι δυνάμενα, ὡς καὶ χλαμύδα διπλῆν λέγομεν τὴν μίαν οὖσαν καὶ διπλασιασθεῖσαν διὰ τὸ μέγεθος. Οὐκ ἀγνοεῖν δὲ χρή, ὡς πᾶσα πτῶσις ὀνομάτων συντίθεται κατ’ ἀρχὴν ἐν τοῖς συνθέτοις ὀνόμασιν, εὐθεῖα μέν, ὡς ἐν τῷ χηναλώπηξ δορυδρέπανον, γενικὴ δέ, ὡς ἐν τῷ Διόσκορος Ἑλλήσποντος, δοτική, ὡς ἐν τῷ ἀρηΐφιλος Αἰγίπαν, καὶ αἰτιατική, ὡς ἐν τῷ ποδάνιπτρα νουνεχής· ἡ δὲ κλητικὴ οὐδέποτε συντίθεται, ἐπειδὴ αὐτοτελής ἐστι καὶ πρός τινα λέγεται, ὅ ἐστι δευτέρου προσώπου· συντιθεμένη δὲ καὶ γινομένη εὐθεῖα τρίτον πρόσωπον δηλοῦν ἠναγκάζετο, καθὸ πᾶσα εὐθεῖα τρίτου προσώπου ἐστίν, ὅπερ ἐστὶν ἀδύνατον· οὐ γὰρ ἔχει φύσει τὸ δηλοῦν τρίτον πρόσωπον· ὅθεν τὸ γυναιμανής ἐκ τοῦ γυναικομανής λέγομεν συγκεκόφθαι. —Ἰστέον δὲ ὅτι πᾶν μέρος λόγου συντίθεται δίχα ἄρθρου καὶ ἀντωνυμίας καὶ συνδέσμου, μόνον ὅτι ἐν ἄρθρῳ ἕν γέ ἐστι τὸ συντιθέμενον ἐν τῷ λέγειν ταὐτότης, καὶ ἐν ἀντωνυμίᾳ ἐν τρίτῳ προσώπῳ τὸ αὐτοδίδακτος καὶ αὐτοδιάλεκτος καὶ αὐτόσσυτος· ἐν συνδέσμῳ δὲ οὐδεμίαν σύνθεσιν εὑρίσκομεν.

379 Ὥσπερ δὲ ἐπὶ τῶν ἄλλων εἰδῶν ἦν τινα φωνῇ μόνῃ καὶ οὐ σημαινομένῳ παρηγμένα, καὶ λέγομεν ὅτι τὸ Εὐριπίδης καὶ Ἡρῴδης φωνῇ μόνῃ καὶ οὐ σημαινομένῳ πατρωνυμικά ἐστι, καὶ τὸ δούρειος ἵππος καὶ ὀφθαλμικὸς ἰατρός φωνῇ μόνῃ κτητικά, καὶ τὸ νεώτερος καὶ τὸ ἀγρότερος φωνῇ μόνῃ συγκριτικά, καὶ τὸ 〈cfr X 15〉 θεῶν ὀλοώτατος καὶ 〈cfr Λ 832〉 Κενταύρων δικαιότατος φωνῇ μόνῃ ὑπερθετικά, οὕτω καὶ ἐπὶ τῶν συνθέτων· τὸ μὲν γὰρ μισάνθρωπος κυρίως σύνθετον, τὸ δὲ Ἀγαμέμνων καὶ Φίλιππος καὶ Διόσκορος καὶ Ἀρίσταρχος καὶ ἁπλῶς ὅσα ἐστὶν ἐν κυρίοις σύνθετα φωνῇ 〈μόνῃ〉 καὶ οὐ σημασίᾳ τὴν σύνθεσιν ἀνεδέξαντο. Παρασύνθετα δὲ ἐκεῖνά φαμεν τὰ ἀπὸ συνθέτων ὀνομάτων εἰς ἓν τῶν προειρημένων 〈ἑπτὰ〉 εἰδῶν μεταπίπτοντα, οἷον Ἀγαμέμνων σύνθετον, Ἀγαμεμνονίδης παρασύνθετον, ἐπειδὴ ἀπὸ συνθέτου εἰς ἓν τῶν ἑπτὰ εἰδῶν μετέπεσε καὶ ἐγένετο πατρωνυμικόν, Ἀγαμεμνόνειος παρασύνθετον, ἐπειδὴ ἀπὸ συνθέτου εἰς ἓν τῶν ἑπτὰ μετέπεσε καὶ ἐγένετο κτητικόν, φιλοσοφώτερος παρασύνθετον καὶ φιλοσοφώτατος καὶ τἆλλα ἁπλῶς εἰπεῖν, ὅσα ἀπὸ συνθέτων ὀνομάτων εἰς ἓν τῶν ἑπτὰ μεταπίπτει. Σχήματα δὲ εἴρηνται ἀπὸ τῆς σχέσεως τοῦ ὀνόματος ᾗ ἕκαστον ὀνομάζεται· καὶ ὥσπερ ἐν λόγῳ ἔστι σχήματα καὶ παρεχόμεθα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πτῶσιν ἀντὶ πτώσεως, οὕτω καὶ ἐν τῇ λέξει εἰσὶ σχήματα· ἢ πρὸς τὸν τῶν ἀνδριάντων τύπον· ὡς γὰρ ἐκείνων οἱ μέν εἰσιν ὀρθοί, οἱ δὲ πλάγιοι, οἱ δὲ ἄλλως πως κείμενοι, οὕτω καὶ ἐν τοῖς ὀνόμασι τὰ μέν ἐστιν ἁπλᾶ, τὰ δὲ σύνθετα, καὶ διὰ τοῦτο ἐκλήθησαν σχήματα. Ὥσπερ 〈δὲ〉 ἐπὶ τῶν εἰδῶν ἐστί τινα φωνῇ μόνον, οὐ νοουμένῳ παράγωγα, οὕτω καὶ ἐπὶ τούτου τὸ φιλάνθρωπος σύνθετον τῷ νοητῷ, τὸ Φίλιππος σύνθετον τῇ φωνῇ, οὐ τῇ σημασίᾳ. Πόσα σχήματα; Τρία· ἁπλοῦν, σύνθετον, παρασύνθετον· ἁπλοῦν μέν, οἷον Μέμνων, σύνθετον δέ, οἷον Ἀγαμέμνων, παρασύνθετον δέ, οἷον Ἀγαμεμνονίδης. Ἁπλοῦν ἐστι τὸ ἐξ ἑνὸς μέρους λόγου ἤγουν μιᾶς λέξεως, οἷον θεός· σύνθετον δὲ τὸ ἐκ δύο λέξεων ἢ καὶ πλειόνων, οἷον φιλόθεος χρυσολευκόλιθος· τὸ δὲ παρασύνθετον παρῆκται ἀπὸ συνθέτου· διὰ τοῦτο καὶ παρασύνθετον καλεῖται. Δεῖ δὲ εἰδέναι, ὅτι τὰ ἀπὸ συνθέτων παραγόμενα ἐν μὲν τοῖς ὀνόμασι παρασύνθετα λέγεται, ἐν δὲ ἑτέροις μέρεσι λόγου οὐκ ἔστιν. 〈Heliodori.

380 〉 — Τῶν δὲ συνθέτων ὀνομάτων διαφοραί εἰσι τέσσαρες · ἃ μὲν γὰρ αὐτῶν εἰσιν ἐκ δύο τελείω ν , ὡς Χειρίσοφο ς.] Πᾶσαι αἱ πτώσεις συντίθενται, οἷον χηναλώπηξ Ἑλλήσποντος 〈ἀρηΐφιλοσ〉 νουνεχής· κλητικὴ δὲ οὐκέτι, καθὸ πρὸς δεύτερόν ἐστι πρόσωπον, ἡ δὲ εὐθεῖα πρὸς τρίτον, 〈καὶ〉 τὸ δεύτερον πάρεστι, τὸ 〈δὲ〉 τρίτον ἄπεστι· τὸ γοῦν παρὸν τῷ ἀπόντι πῶς ἑνωθήσεται; Καὶ τὰ ῥήματα ἐν τρίτῳ προσώπῳ συντίθεται, ἐπειδὴ καὶ τὰ ὀνόματα τρίτου προσώπου εἰσίν, οἷον Μενέλαος φερέοικος μισάνθρωπος· αἱ μετοχαὶ κατὰ τὸ τέλος σύγκεινται, οἷον Ἄτλας Ἄβας πολύτλας· αἱ προθέσεις ἐν ἀρχῇ, οἷον πρόμαχος Ἀνακρέων· τὸ δὲ θυρεπανοίκτης οὕτως, ἀνοίγω ἀνοίκτης ἐπανοίκτης θυρεπανοίκτης· τὰ δὲ ἐπιρρήματα καὶ ἐν ἀρχαῖς, ὡς ἐν τῷ Ἰφιάνασσα, καὶ ἐν τέλει ἀποδόσεως, οἷον 〈Hes. Opp. 410〉 ἔς τ ’ ἔννηφι ν· σύνδεσμοι δὲ συντίθενται οὗτοι· ὁ δέ, οἷον οὐδαμῶς, ὁ καί, οἷον 〈Ο 678〉 δυωκαιεικοσίπηχ υ. —Ἰστέον 〈δὲ〉 ὅτι αἱ λέξεις τῶν ὀνομάτων διφυεῖς οὖσαι κατὰ τὴν σύνθεσιν—ἢ γὰρ ἀτελεῖς ἢ τέλειαί εἰσιν—ἀλλήλαις συμπλεκόμεναι τέσσαρα σχήματα ποιοῦσι, περὶ ὧν νῦν διαλαμβάνει. Ἃ δὲ ἐκ δύο ἀπολειπόντω ν , ὡς Σοφοκλῆ ς·] ἕκαστον γὰρ μέρος λόγου ἀτελές ἐστιν· οὔτε γὰρ τὸ σοφο τί ποτε ἐνταῦθα σημαίνει, οὔτε τὸ κλης . Ὁμοίως καὶ τὸ Ἡρακλῆς ἐκ τοῦ ἦρα καὶ τοῦ κλέος, ὃ οὐδέτερον· καὶ μήποτε τῷ λόγῳ τούτῳ [ἦρα ἡ μετ’ ἐπικουρίας χάρις] βραχύνει τὸα · Ἡρακλῆς οὖν ὁ κλέος ἔχων ἐκ τοῦ τοῖς ἀνθρώποις ἐπικουρίαν χαρίσασθαι, 〈ἦρα γὰρ ἡ μετ’ ἐπικουρίας χάρισ〉 · καὶ γὰρ φέρονται καὶ τὰ τοιαῦτα ἔπη περὶ αὐτοῦ· Ἡρακλέην δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζε ι , Ἧρα γὰρ ἀνθρώποισι φέρων κλέος ἄφθιτον ἕξει ς . Ἃ δὲ ἐξ ἀπολείποντος καὶ τελείο υ , ὡς Φιλόδημος νεόγαμος Νεόδημος· ἃ δὲ ἐκ τελείου καὶ ἀπολείποντο ς , ὡς Περικλῆ ς·] ἡ γὰρ περί πρόθεσις τέλειον μέρος λόγου, τὸ δὲ κλης ἀσήμαντον· ἃ δὲ ἐκ δύο ἀπολειπόντων καὶ ἑνὸς τελείου, οἷον χρυσολευκόλιθος θρασυγοργολεέων. — Γίνονται δὲ σύνθετα κατὰ τρόπους τρεῖς, παράθεσιν, σύνθεσιν, συμφοράν· κατὰ μὲν παράθεσιν ἀγαθὸς δαίμων, σύνθεσιν δὲ θεοείκελος, συμφορὰν δὲ ζωγράφος. Ἀριθμοὶ τρεῖ ς.] Ἀριθμός ἐστι κατὰ μὲν ἀριθμητικοὺς σωρεία μονάδων ἤγουν σύνθεσις, κατὰ δὲ γραμματικοὺς χαρακτὴρ λέξεως δυνάμενος διάκρισιν ποσοῦ ἀναδέξασθαι, ἢ χαρακτὴρ σημαίνων ποσότητα μετὰ ἀκολουθίας διὰ τοὺς ἀριθμούς· δύο γὰρ καὶ τρεῖς καὶ εἴ τι τοιοῦτον ἐν ἀκολουθίᾳ δηλοῦσι ποσότητα. Ὅθεν τὸ εἷς δοκεῖ σημειῶδες εἶναι· τὰ γὰρ εἰς εις περισπώμενα εὐθεῖαι πληθυντικαί εἰσιν, 〈οἷον〉 οἱ εὐγενεῖς, οἱ εὐσεβεῖς· ἀλλά φαμεν τεθεματίσθαι· ὅθεν οὐδὲ πληθυντικὸν 〈τὸ εἷς ἐπιδέχεται· τὸ δὲ οὐδείς ἐπιδέχεται πληθυντικὸν〉 τὸ οὐδένες καὶ οὐδένων.

381 Τὸ γοῦν οὐδείς δύο μέρη λόγου, τοῦ δευτέρου μέρους ἀντὶ τοῦ τίς λαμβανομένου, ὡς καὶ τὸ μηδείς ἔχει· ὅτι δὲ θέμα τὸ δείς, δῆλον ἐξ οὐδετέρου κειμένου παρ’ Ἀλκαίῳ ἐν ἐνάτῳ μέλει 〈fr. 66 B 4 〉 , οὐδὲν ἐκ δενὸς γένοιτ ο· καὶ τὸ δείς ἀντὶ τοῦ τίς· ἐξ ὧν ὁμοίως αὐτῷ καὶ ἐπὶ θηλυκοῦ γένους εὑρίσκεται· 〈ubi?〉 πασῶν δ ’ ἀρίστη γαῖα Μεσσήνη λάχε ν , Εὔδενδρο ς , ὡς οὐδεὶς τῆς Ἑλλάδος χθονό ς . Ἑνικό ς , δυϊκό ς , πληθυντικό ς.] Ἀναγκαίως τὸ ὄνομα καὶ ἀριθμὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιδέχεται, ἐπειδὴ [γὰρ] συμβαίνει καὶ ἕνα καὶ δύο καὶ τρεῖς πολλάκις τοῦ αὐτοῦ ὀνόματος μετέχειν. Καὶ ἔστιν ἑνικός, ὅταν ἕνα σημαίνῃ, καὶ δυϊκός, ὅτε δύο· οὐκέτι δὲ καὶ τὸ τρεῖς τριτυντικὸν ἢ τρεϊκὸν ὀνομάζομεν, ἀλλὰ πληθυντικόν, [ὅτι] ἐπεὶ ὁ τρεῖς ἀριθμὸς ἀρχὴ πλήθους ἐστίν, ὡς καὶ ἐν τῇ παροιμίᾳ «τρεῖς πολλοί»· διὰ τοῦτο καὶ οἱ παλαιοὶ [τὰ] πολλὰ βουλόμενοι σημαίνειν τρεῖς λέγουσιν, ὡς καὶ ὁ ποιητής 〈ε 306〉 τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις, ἀντὶ τοῦ πολλάκις. 〈Heliodori.〉 — Ἑνικὸς μὲν ὁ τὸ ἓν σημαίνω ν , οἷον ὁ Αἴα ς , δυϊκὸς δὲ ὁ τὰ δύο σημαίνω ν , οἷον τὼ Αἴαντ ε , πληθυντικὸς δὲ ὁ τὰ τρία 〈ἢ〉 καὶ πολλὰ σημαίνω ν , οἷον οἱ Αἴαντε ς.] Τὸ ἑνικός κτητικοῦ εἴδους ἐστίν· ὥσπερ γὰρ ἀπὸ τοῦ Πλάτων Πλάτωνος λέγομεν Πλατωνικός, οὕτω καὶ 〈ἀπὸ τοῦ〉 εἷς ἑνός λέγομεν 〈ἑνικός, καὶ〉 δηλοῖ ὁ τοῦ ἑνὸς χαρακτήρ, καὶ ἀπὸ τοῦ δύο δυΐκός, καὶ δηλοῖ ὁ τῶν δύο χαρακτήρ. Ἀλλ' οὐκέτι ἀπὸ τοῦ τρεῖς τρεϊκός φαμεν· ὁ μὲν γὰρ ἑνικὸς καὶ δυϊκὸς χαρακτὴρ ἰδιάζοντα καὶ φανερὸν ἔχει ἀριθμὸν καὶ τύπον, ὁ δὲ τρεῖς ἀριθμὸς ἀρχὴν σημασίας πλήθους λαμβάνων κατὰ τὸν τύπον οὐ λέγεται κατὰ παραγωγὴν τρεϊκός, ἀλλὰ πληθυντικός· τῷ γὰρ αὐτῷ τύπῳ κεχρήμεθα καὶ ἐπὶ τριῶν καὶ τεσσάρων καὶ πέντε. Εἰσὶ δέ τινες ἑνικοὶ χαρακτῆρε ς.] Ὥσπερ ἐπὶ τῶν ῥημάτων εἰσὶ φωναὶ τοῖς σημαινομένοις ἐναντίαι—τὸ γὰρ ὀρχοῦμαι φωνῇ μέν ἐστι παθητικόν, σημαινομένῳ δέ ἐστι ἐνεργητικόν—, οὕτω καὶ ἐπὶ τῶν ὀνομάτων εἰσὶ φωναὶ ἐναντίαι τοῖς σημαινομένοις· ὅθεν ἐπὶ τούτων ἔξεστι καὶ πρὸς τὰς φωνὰς ὑπαντᾶν καὶ πρὸς τὸ σημαινόμενον, οἷον «ὁ στρατὸς ἐπολέμησε» καὶ «ὁ δῆμος ἐβόησε», καὶ «ὁ στρατὸς ἐπολέμησαν» καὶ «ὁ δῆμος ἐβόησαν».

382 [Καὶ πληθυντικῷ κατὰ ἑνικοῦ καὶ δυϊκοῦ χρήσῃ, δυϊκῷ δὲ κατὰ ἑνικοῦ οὐκέτι· ὥρισται γὰρ ὁ ἀριθμὸς ἐπὶ δυάδος.] Χρὴ δὲ γινώσκειν, ὅτι δυνατὸν μέν ἐστι τῷ πληθυντικῷ χρήσασθαι ἀντὶ δυϊκοῦ καὶ ἑνικοῦ, οἷον 〈ε 226〉 ἐλθόντες δ ' ἄρα τώ γε μυχῷ σπείους γλαφυροῖο, καὶ ἀλλαχοῦ 〈Eurip. Med. 488〉 καὶ ταῦ θ ' ὑ φ ' ἡμῶ ν , ὦ κάκισ τ ' ἀνδρῶ ν , παθὼν Προύδωκας ἡμᾶ ς, ἐπειδὴ τὸ πλῆθος περιέχει ἐν αὑτῷ τὸ ἓν καὶ τὰ δύο πρόσωπα· οὐκέτι δὲ τῷ ἑνικῷ χρήσαιο ἂν ἀντὶ δυϊκοῦ καὶ πληθυντικοῦ, ἀλλ' οὐδὲ τῷ δυϊκῷ ἀντὶ ἑνικοῦ καὶ πληθυντικοῦ· ὡρισμένην γὰρ μονάδα ἔχει τὸ ἑνικόν, καὶ ὡρισμένην δυάδα τὸ 〈δυϊκόν, ἀόριστον δὲ ἀριθμὸν σημαίνει τὸ〉 πληθυντικόν. Κατὰ πολλῶν λεγόμενο ι.] Χαρακτῆρα λέγει τὸν τύπον τῆς προφορᾶς· τὸ γὰρ δῆμος καὶ χορός καὶ ὄχλος ἑνικοῦ μὲν ἀριθμοῦ προφορὰν ἔχει, πλῆθος δὲ σημαίνει. 〈Heliodori〉. — Οἷον δῆμος χορός ὄχλο ς.] Συμβαίνει, φησί, πολλάκις ἑνικὸν μὲν εἶναι τὸν χαρακτῆρα τοῦ ὀνόματος, σημαίνειν δὲ πληθυντικόν, ὥσπερ ἔστιν εὑρεῖν ἐν τοῖς περιληπτικοῖς ὀνόμασιν. — Ἄξιον δέ ἐστι ζητῆσαι, τίνος ἕνεκεν οὕτω παρείληπται πληθυντικὸν ἀντὶ ἑνικῶν καὶ δυϊκῶν· καὶ γὰρ τὸ ἀμφότεροι, ὡς αὐτὸς λέγει, πληθυντικὸν ἔχει χαρακτῆρα, σημαίνει δὲ δύο μόνους, οὔτε γὰρ τολμήσω ἐπὶ πλήθους τῇ λέξει χρήσασθαι. Καὶ λέγομεν, διὰ τοῦτο, ὅτι τὸ πληθυντικὸν καὶ ἑνικὸν καὶ δυϊκὸν σημαίνει, ἐπειδὴ ἐμπεριέχεται τῷ ἀριθμῷ καὶ τὸ ἓν καὶ τὰ δύο. Φήσειεν 〈ἄν〉 τις, «ἆρα γοῦν, ἐπειδὴ τὸ ἑνικὸν ἐμπεριέχεται τῷ ἀριθμῷ τῶν δυϊκῶν, καὶ δυϊκὰ ἀντὶ ἑνικῶν ἔξεστι λέγειν;» Λέγομεν ὅτι οὔ· ἐν μὲν γὰρ τῷ πληθυντικῷ ἀόριστός ἐστιν ὁ ἀριθμός, ἐν δὲ τῷ δυϊκῷ ὡρισμένος· πῶς οὖν τὸν ὡρισμένον κατὰ δύο μόνων ἀριθμὸν καὶ ἀντὶ ἑνὸς παραλαμβάνειν εὔλογον; Πάλιν πληθυντικὸν μὲν ἔχει τύπον προφορᾶς τὸ λέγειν Ἀθῆναι καὶ Θῆβαι· ὡς γὰρ κατὰ πολλῶν ἐστι λεγόμενον, μίαν δὲ σημαίνει τὰς Ἀθήνας καὶ μίαν τὰς Θήβας· Ὅμηρος μέντοι ἀκριβὴς ὢν τὰ μὲν ἑνικὰ ἑνικῶς προηνέγκατο, οἷον 〈η 80〉 ᾤχετο δ ' εἰς Μαραθῶνα καὶ εὐρυάγυιαν Ἀθήνην, καὶ 〈Α 366〉 ᾠχόμε θ ' ἐς Θήβην, καὶ 〈Ζ 416〉 Θήβην ὑψίπυλο ν. Διὰ τί δὲ τὸ ἀμφότεροι χαρακτῆρα πληθυντικὸν ἔχει; Ὅτι ὁμοίως κλίνεται τῷ πληθυντικῷ· ὡς γὰρ οἱ πολλοί τῶν πολλῶν τοῖς πολλοῖς τοὺς πολλούς ὦ πολλοί, οὕτω καὶ 〈οἱ〉 ἀμφότεροι τῶν ἀμφοτέρων τοῖς ἀμφοτέροις τοὺς ἀμφοτέρους ὦ ἀμφότεροι. Πτώσεις ὀνομάτων εἰσὶ πέντε [καταχρηστικῶς], ὀρθ ή , γενικ ή ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δοτικ ή , αἰτιατικὴ καὶ κλητικ ή.] Λέγονται δὲ πτώσεις, ἐπειδὴ ἡ φωνὴ ἀπ’ ἄλλου εἰς ἄλλο μεταπίπτει.

383 Πτῶσίς ἐστι πτωτικῆς λέξεως μετασχηματισμός, τῆς τελευταίας συλλαβῆς ἄλλοτε εἰς ἄλλο τρεπομένης. Καὶ ἄλλως· ὀνόματος ἢ ὀνοματικοῦ τινος κατὰ τὸ τέλος γινομένη κίνησις. Ἄξιον δέ ἐστι ζητῆσαι, πῶς οἷόν τέ ἐστι etc. = Σ v 231, 20—27. Ἄλλω ς. —Πῶς λέγεται ἡ ὀρθὴ πτῶσις; Ὅτι πέπτωκεν ἐκ τοῦ ἀσωμάτου καὶ γενικοῦ εἰς τὸ εἰδικόν· ὀρθὴ δὲ λέγεται, ὅτι οὔπω ἐκινήθη εἰς πλάγιον. Ἰστέον δὲ ὅτι ἐζητήθη παρὰ πολλοῖς περὶ τῆς ὀρθῆς, πῶς δύναται ἡ αὐτὴ ὀρθὴ καὶ πτῶσις εἶναι· ἐναντίον γὰρ ἔδοξεν εἶναι τὴν αὐτὴν ὀρθὴν καὶ πτῶσιν καλεῖσθαι. Καὶ ἔστιν εἰπεῖν οὕτως, ὅτι κατὰ τοῦτο μὲν πτῶσις καλεῖται, καθὸ μεταπίπτει εἰς τὰς λοιπὰς πτώσεις, ἢ καθὸ ἀπὸ τοῦ γενικοῦ μεταπίπτει εἰς τὸ εἰδικόν, ἤγουν ὅτι ἐπιπίπτει τοῖς σώμασιν· κατὰ τοῦτο δὲ ὀρθὴ καὶ εὐθεῖα, καθὸ ὀρθὸν καὶ εὐθύτατον τὸν λόγον ἀποτελεῖ· δίχα γὰρ αὐτῆς λόγος οὐ συνίσταται· σκόπει γὰρ ὅτι ἐὰν μὲν εἴπω «Ἀρίσταρχος ἀνέγνω», ὑγιὴς ὁ λόγος ἐστὶ διὰ τὴν εὐθεῖαν, ἐὰν δὲ εἴπω «Ἀριστάρχου ἀναγινώσκοντος», ἀτελὴς ὁ λόγος μὴ ἔχων εὐθεῖαν· εἰ δὲ ἐπάξω τὸ «ἤκουσα», τέλειος ὁ λόγος γίνεται· εὐθεῖαν γὰρ ἐπήγαγον, ἐπειδὴ πᾶν ῥῆμα εὐθεῖαν ἐν ἑαυτῷ περιέχει. Καὶ ὥσπερ σύνδεσμος καλεῖται διαζευκτικός, καίτοι γε ἐναντίως ἔχων—ἐναντίον γὰρ τὸ διαζευγνύναι τῷ συνδεῖν—, ἀλλ’ ἐπειδὴ συνδεῖ μὲν τὸν λόγον, διαζευγνύει δὲ καὶ διίστησι τὴν διάνοιαν [ἀπὸ τῶν ἄλλων πτώσεων], κατὰ τοῦτο σύνδεσμος διαζευκτικὸς λέγεται, [οὕτω καὶ ταύτην ὀρθήν φαμεν καὶ εὐθεῖαν〉 · τὰς δὲ ἄλλας πτώσεις καὶ πλαγίας, καθὸ ἀπὸ τῆς εὐθείας πεπτώκασιν, καὶ καθὸ πλαγιάζουσι τὸν λόγον εἰς ἕτερον μεταφέρουσαι πρόσωπον, ὡς τὸ «Σωκράτους ἀναγινώσκοντος ἤκουσα, Πλάτωνι ἐξηγουμένῳ παρήμην, Ἀρίσταρχον διαλεγόμενον ἐθαύμασα». Καὶ λέγεται ἡ μὲν ὀρθὴ ὀνομαστικὴ καὶ εὐθεῖ α , ὅτι ὀρθὸν καὶ εὐθύτατον λόγον ἀποτελε ῖ.] Ὀνομαστικὴ λέγεται ἡ ὀρθὴ καὶ εὐθεῖα, ὅτι δι’ αὐτῆς τὰ ὀνόματα ἐπιτίθεμεν τοῖς παισὶ καὶ δι’ αὐτῆς ὀνομάζομεν· δι’ αὐτῆς γὰρ ὀνομάζεται τὸ ὑποκείμενον, εἴτε ἔμψυχον εἴτε ἄψυχον εἴη τὸ ὑποκείμενον, ὡς καὶ ὁ ποιητής 〈τ 409〉 τῷ δ ’ Ὀδυσεὺς ὄνο μ ’ ἔστω ἐπώνυμο ν· ὅτε γὰρ λέγομεν Ὅμηρος, κατ’ ὀρθότητα προφέρομεν τὸ ὄνομα· διὰ τοῦτο ὀρθὴ λέγεται· ἢ ὅτι [καθὸ] ὀνομάζειν τινὰ βουλόμενοι ταύτῃ κεχρήμεθα· αἱ δὲ ἑξῆς πτώσεις πλάγιαι καλοῦνται, ἐπειδὴ ἀπὸ τῆς ὀρθότητος πλαγιάζεται ἡ προφορὰ τοῦ ὀνόματος. Ἡ δὲ γενικὴ κτητική τε καὶ πατρικ ή , ἐπειδὴ ἐξ αὐτῆς ποιοῦμεν τὰ γένη καὶ τὰς πατρίδα ς·] ὅτι πᾶν κτητικὸν ἢ πατρωνυμικὸν ἀπὸ γενικῆς γίνεται καὶ εἰς ταύτην ἀναλύεται, οἷον Νεστόρειος ἀγρὸς ὁ τοῦ Νέστορος ἀγρός, καὶ Νεστορίδης ὁ τοῦ Νέστορος υἱός· καὶ ὅτι γένεσίς ἐστι ταῖς ἄλλαις πτώσεσι καὶ τῶν πλαγίων μήτηρ ἡ γενική· γενικὴ δὲ ὠνόμασται, ὅτι γένος αὐτῶν, ὡς πατήρ, ἄλλως τε καὶ τῶν ἄλλων πτώσεων μήτηρ.

384 Ἡ δὲ δοτικὴ ἐπισταλτικ ή , ὅτι ταύτῃ χρώμεθα τῇ πτώσει ἐν τοῖς ἐπισταλτικοῖς τρόποι ς·] ἐπεὶ καὶ αἱ δόσεις δι’ αὐτῆς γίνονται, οἷον «δίδωμι τῷ φίλῳ», καὶ ὅτι δι’ αὐτῆς ἐπιστέλλομεν, 〈ubi?〉 χαίρειν Ἀθηναίοισι καὶ τοῖς συμμάχοι ς . Ἡ δὲ αἰτιατικὴ κα τ ’ αἰτία ν , οἷον διὰ τὸν Ἀρίσταρχον ἐτιμήθη ν.] Αἰτιατικὴ δέ, φησίν, οὕτως ὀνομάζεται, ὅτι αἰτίαν ἐσήμανεν, αἴτιον τῆς ἡμετέρας ὠφελείας τὸν Ὅμηρον ψηφισάμενος· μόνην δὲ αἰτίαν αὕτη δηλοῖ, οἷον «διὰ σὲ ταῦτα ἐγένετο». Ἡ δὲ κλητικὴ προσαγορευτικ ή.] Τὴν κλητικὴν εἶπε προσαγορευτικήν, ἐπειδὴ προσκαλούμενοί τινα καὶ ἀσπαζόμενοι ταύτῃ χρώμεθα, ὅτι δι’ αὐτῆς, φησί, καλοῦμεν καὶ προσαγορεύομεν, «ὦ Σώκρατες» λέγοντες, καὶ πάλιν 〈I 225〉 [ὦ ] χαῖ ρ’ , Ἀχιλε ῦ, καὶ 〈Ψ 19. 179〉 χαῖρέ 〈μοι 〉 , ὦ Πάτροκλε κατὰ τὴν κλητικὴν πτῶσιν, ὡς καὶ ὁ ποιητὴς λέγει 〈K 462〉 χαῖρ ε , θε ά . Ὑποπέπτωκε δὲ τῷ ὀνόματι εἰκοσιτέσσαρ α , ἃ καὶ αὐτὰ εἴδη προσαγορεύεται · κύριο ν , προσηγορικό ν , ἐπίθετο ν , πρός τι ἔχο ν , ὡς πρός τι ἔχο ν , ὁμώνυμο ν , συνώνυμο ν , φερώνυμο ν , διώνυμο ν , ἐπώνυμο ν , ἐθνικό ν , ἐρωτηματικό ν , ἀόριστο ν , ἀναφορικό ν , 〈ὃ〉 καὶ ὁμοιωματικὸν 〈καὶ〉 δεικτικὸν καὶ ἀνταποδοτικὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καλεῖτα ι , περιληπτικό ν , ἐπιμεριζόμενο ν , περιεκτικό ν , πεποιημένο ν , γενικό ν , εἰδικό ν , τακτικό ν , ἀριθμητικό ν , μετουσιαστικὸν καὶ ἀπολελυμένο ν.

385 ] — 〈Heliodori.〉 —Ὃν τρόπον εἰρήκαμεν, ὅτι πᾶν ὄνομα πάντως ὑπὸ τὰ δύο εἴδη ἐστὶ τὰ πρῶτα, οὕτω καὶ ἐνταῦθα ἐροῦμεν, 〈ὅτι〉 πᾶν ὄνομα ὑπὸ τὰ δύο εἴδη ἐστὶ τὰ πρῶτα, φημὶ δὴ κύριον καὶ προσηγορικόν, μετὰ δὲ τοῦ εἶναι κύριον ἢ προσηγορικὸν καὶ ἑτέρῳ συμβαίνει σημαινομένῳ κατέχεσθαι, οἷον [κυρίῳ, προσηγορικῷ] ἐπιθέτῳ καὶ τοῖς ἑξῆς. —Διὰ τί δὲ εἶπεν «ἃ καὶ αὐτὰ εἴδη προσαγορεύεται»; Ὅτι καὶ αὐτὸς εἴδη προεξέθετο τὰ τῶν παραγώγων, ἔνθα φησίν «εἴδη δὲ παραγώγων εἰσὶν ἑπτά». Τί δέ ἐστιν «ὑποπέπτωκεν»; Ἀντὶ τοῦ ὑποβέβληται καὶ ὑποτέτακται. Τί δέ ἐστιν «εἴδη»; Τμήσεις ὡς εἰπεῖν τοῦ ὀνόματος· τὸ γὰρ ὄνομα γενικόν ἐστι κατὰ τῶν εἰδῶν τούτων, ἐξ αὐτῶν συνεστὼς καὶ εἰς ταῦτα διαιρούμενον· ὥσπερ 〈γὰρ〉 τῷ ζῴῳ τῷ γενικῷ ὑπόκειται εἴδη, οἷον ἄνθρωπος ἵππος βοῦς κύων, καὶ τῷ γενικῷ φυτῷ ὑποβέβληται 〈εἴδη〉 , οἷον ἐλαία ἄμπελος συκῆ, οὕτω καὶ τῷ ὀνόματι, φησίν, ὑπόκειται καὶ ὑποβέβληται ταῦτα εἴδη αὐτοῦ καλούμενα. Καὶ ἐπειδὴ διχῶς προσαγορεύεται τουτέστι λέγεται τὸ εἶδος —ὁρᾶται γὰρ καὶ νοεῖται ποτὲ μὲν περὶ φωνὴν ποτὲ δὲ περὶ σημασίαν αἱρούμενον· καὶ περὶ φωνὴν μέν, ὡς ὅταν εἴπωμεν πρωτότυπον καὶ παράγωγον, περὶ σημασίαν δὲ κύριον ἢ προσηγορικόν—καὶ ὥσπερ τὸ περὶ φωνὴν εἶδος εἰς δύο διελών, εἰς πρωτότυπον καὶ παράγωγον, ἐπιδιαίρεσιν ἐποίησεν, ἐπιδιεῖλε γὰρ τὸ παράγωγον εἰς ἑπτά, οὕτω καὶ ἐπὶ τούτου τὸ περὶ σημασίαν εἶδος διαιρεῖ εἰς κύριον καὶ προσηγορικόν, τὸ δὲ προσηγορικὸν ἐπιδιαιρεῖ εἰς ἐπίθετον, πρός τι ἔχον καὶ τὰ ἑξῆς. Κύριον μὲν οὖν ἐστι τὸ τὴν ἰδίαν οὐσίαν σημαῖνον καὶ ἀ φ ’ ἡμῶν ἔχον τὴν ὀνομασία ν , οἷον Πέτρος Παῦλος Ἰωάννη ς.] Καὶ ἔστι μὲν εἶδος, φησί, κύριον ὀνομαζόμενον, ὅτι μιᾶς ὑπάρξεως καὶ οὐσίας κυριεύει καὶ αὐτὴν μόνην δηλοῖ, ἢ ὅτι κυρίως καὶ βεβαίως τὴν οὐσίαν ἐκείνην καὶ τὴν ὕπαρξιν ἰδίαν ἐποιήσατο, ἣν μόνην δηλοῖ, οἷον Ὅμηρος Σωκράτης· καὶ πάλιν κύριον μέν ἐστι τὸ οὐ κοινῶς ἀλλ’ ἰδίως ἐπί τινος τεταγμένον βουλήσει τῶν κυριευόντων τῆς κλήσεως. Γίνεται δὲ κύριον ἀπὸ τοῦ κύρω, ὃ δηλοῖ τὸ ἐπιτυγχάνω, ἀφ’ οὗ κῦρος ἡ ἐπίτευξίς τινος καὶ ἡ ψῆφος. Τί ἐστι προσηγορικόν; Τὸ τὴν κοινὴν οὐσίαν σημαῖνον καὶ οὐκ ἀ φ ’ ἡμῶν ἔχον τὴν ὀνομασία ν , οἷον ἄνθρωπος ἵππος βοῦς κύων ὄφις οὐσί α.] — 〈Heliodori.〉 —Προσηγορικόν ἐστι τὸ κοινῆς οὐσίας δηλωτικὸν καὶ ἐπὶ κοινοῦ πράγματος τιθέμενον καὶ οὐκ ἀφ’ ἡμῶν ἔχον τὴν ὀνομασίαν, ὡς ἄνθρωπος ἵππος ἀρετὴ παιδεία καὶ τὰ ὅμοια.

386 Ζητοῦσι δέ τινες ἐνταῦθα λέγοντες, διὰ τί μὴ προέταξεν ὁ τεχνικὸς τὸ προσηγορικὸν τοῦ κυρίου, ὅτι τὸ μὲν προσηγορικόν ἐστι φυσικόν, τὸ δὲ κύριον συμβεβηκός· τεχθεὶς γάρ τις πρῶτον τὴν κοινὴν οὐσίαν καὶ ὕπαρξιν ἔρχεται ἔχων, ἄνθρωπος φαινόμενος, εἶθ’ οὕτω Σωκράτης ὀνομάζεται. Καὶ λέγομεν, ὅτι ἔθος ἐστὶ τοῖς τεχνικοῖς τὰ ἄτομα προτάσσειν τῶν τεμνομένων, ὡς τὸ πρωτότυπον τοῦ παραγώγου καὶ τὸν ἐνεστῶτα τοῦ παρῳχημένου, καὶ ὡς τὸ ἁπλοῦν τοῦ συνθέτου. Προσηγορικὸν δέ ἐστι τὸ κατὰ πάντων τῶν ὁμοίαν φύσιν ἐχόντων λεγόμενον. Ἐπίθετον δέ ἐστι ν.] Ἐπίθετόν ἐστιν ὃ καθ’ ἑαυτὸ οὐ δύναται λεχθῆναι, εἰ μὴ ἐπιτεθῇ ἑτέρῳ ὀνόματι, τουτέστι κυρίῳ ἢ προσηγορικῷ· ὥσπερ καὶ τὰ ἐπιρρήματα, ἐπειδὴ καὶ αὐτὰ δίχα ῥημάτων οὐ δύναται συστῆναι· διὸ καὶ ἐπίθετον καλεῖται, ὅτι ἐπιτίθεται ἑτέρῳ ὀνόματι. Ἐντεῦθεν καὶ τρίτον τῇ τάξει τέτακται· ὥσπερ γὰρ ἐν τοῖς παραγώγοις πρῶτον τέταχε τὸ πατρωνυμικόν, καθὸ ἀπὸ κυρίου ἔχει τὴν γένεσιν, καὶ δεύτερον τὸ κτητικόν, καθὸ τοῖς κυρίοις καὶ προσηγορικοῖς ὕλῃ κέχρηται, καὶ τρίτον τὸ συγκριτικὸν τὸ ἐπι 〈συμ〉 βαῖνον κυρίῳ τε καὶ προσηγορικῷ, 〈οὕτω καὶ ἐνταῦθα τὸ ἐπίθετον τρίτον τέταχεν ὡς ἐπισυμβαῖνον κυρίῳ καὶ προσηγορικῷ〉 . Δεῖ δὲ ἡμᾶς εἰδέναι, ὅτι ἐκεῖνό ἐστιν [τὸ] ἐπίθετον τὸ παραλαμβανόμενον [ἐπὶ] ψόγου ἢ ἐγκωμίου χάριν, ὡς τὸ ταχὺς ἵππος, λευκὸς Αἴας. Τὸ ἐπὶ κυρίων ἢ προσηγορικῶν ὁμωνύμως τιθέμενον καὶ δηλοῦν ἔπαινον ἢ ψόγο ν . Λαμβάνεται δὲ

τριχῶ ς , ἀπὸ ψυχῆ ς , ἀπὸ σώματο ς , ἀπὸ τῶν ἐκτός · ἀπὸ μὲν ψυχῆ ς , ὡς σώφρων ἀκόλαστο ς , ἀπὸ δὲ σώματο ς , ὡς ταχύς βραδύ ς , ἀπὸ δὲ τῶν ἐκτό ς , ὡς πλούσιος πένη ς.] Διαφέρει γοῦν προσηγορικοῦ ἐπίθετον, ὅτι τὸ μὲν αὐτοτελές ἐστιν, οἷον ἄνθρωπος, τὸ δὲ τῆς [τοῦ] ἑτέρου δεόμενον ἐπαγωγῆς, οἷον «ἀγαθὸς 〈ὁ δεῖνα»〉 · ὅσα δὴ γοῦν τῶν ἐπιθέτων τὴν αἰτίαν τοῦ λέγεσθαι ἐξ ἡμῶν ἔχει, ταῦτα ἐπαίνου ἢ ψόγου ἐστὶ σημαντικά, οἷον ταχύς βραδύς· τὰ δὲ μὴ οὕτως ἔχοντα μέσα, οἷον ὑγιής ἀσθενής· [ἔστι δὲ καὶ μέσα ἐπίθετα, ὡς τὸ πλούσιος πένης ὑγιής λελωβημένος.] Ταῦτα δὲ ἀπὸ τῶν ἐκτός ἐστι τῶν ἐκ τύχης συμβαινόντων, ἃ μήτε ἔπαινον μήτε ψόγον ἔχει· οὐδεὶς γὰρ τὸν πλούσιον ἢ τὸν ὑγιῆ ἐπαινεῖ, ἀλλὰ μακαρίζει τῆς εὐτυχίας, οὔτ' αὖ τὸν πένητα ἢ τὸν λελωβημένον ψέγομεν, ἀλλ' οἰκτείρομεν τῆς δυστυχίας· ἐπαινετὰ δὲ ταῦτά ἐστι καὶ ψεκτά, ὅσα τοῦ μὲν δοκεῖν τύχης ἔργον εἶναι ἀπήλλακται, τῆς δὲ αἰτίας τὴν ἀναφορὰν εἰς ἡμᾶς αὐτοὺς ἔχει.

387 Λαμβάνεται δὲ τὸ ἐπίθετον παρὰ ποιηταῖς ἀπὸ τῶν μάλιστα συνεχῶν τρόπων κδ′. Πρός τι ἔχον δέ ἐστι τὸ πρὸς ἕτερον ἔχον τὴν σχέσιν συστατικὴν ἀλλήλω ν , οἷον πατήρ υἱός · ἔχεται γὰρ σχετικῶς καὶ ὁ πατὴρ τοῦ υἱοῦ καὶ ὁ υἱὸς τοῦ πατρός · 〈ὡσ〉 πρός τι δὲ ἔχον ἐστί ν , ὡς νὺξ πρὸς ἡμέρα ν , θάνατος πρὸς ζωή ν.] — 〈Heliodori.〉 —Πρός τι ἔχον ἐστὶ τὸ πρὸς ἕτερον ἔχον τὴν σχέσιν, εἰ τὸ λεγόμενον δίδωσι νοεῖσθαι ἕτερον σύνεστί τε αὐτῷ καὶ συναπολήγει, ὡς ὅταν εἴπω «πατήρ», ἐνόησα καὶ τὸν υἱόν, οὐ γὰρ μὴ ὄντος υἱοῦ ἔσται τις πατήρ· ἐν ὅσῳ γοῦν ὁ υἱός, ἔσται καὶ ὁ πατήρ, ἀπολλυμένου δὲ τοῦ υἱοῦ ἀπολεῖται 〈καὶ〉 τὸ τοῦ πατρὸς ὄνομα· ὅθεν Ὅμηρος τοῦτο εἰδώς φησι 〈Β 260〉 μη δ ' ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένος εἴη ν. Σημειωτέον δὲ ὅτι τὸ πρός τι ἔχον ἀεὶ γενικῇ συντάσσεται, πατὴρ τούτου, υἱός τούτου, φίλος τούτου, πολλάκις δὲ ἐκ περιουσίας καὶ δοτικῇ· τὸ μέντοι ἴσος ὅμοιος ἴκελος ἀτάλαντος μόνῃ δοτικῇ συντάσσεται, 〈cfr ex. gr. Β 651〉 ἶσος Ἐνυαλί ῳ, 〈cfr Ξ 386 et Β 478〉 ἴκελος ἀστεροπῇ Διὸς τερπικεραύνου, 〈Β 627〉 ἀτάλαντος Ἄρη ϊ. Πρός τι δέ ἐστιν ὃ πρὸς ἑτέρου σχέσιν νοεῖται, οὗ ὑποστελλομένου οὐδ' αὐτὸ ὑπάρχει, ὡς 〈καὶ〉 ἐφ' ὧν εἶπε [καὶ] τῶν συγκριτικῶν. Καὶ ταῦτα δὲ λίαν ἠκρίβωσεν Ὅμηρος, εἰσάγων Ὀδυσσέα τὸν Τηλεμάχου πατέρα πρὸς Θερσίτην ἀπειλητικῶς λέγοντα 〈Β 259 seq〉 μηκέ τ ' ἔπει τ ' Ὀδυσσῆϊ κάρη ὤμοισιν ἐπεί η , Μη δ ' ἔτι Τελεμάχοιο πατὴρ κεκλημένος εἴη ν· τούτων 〈γὰρ〉 ὁ μὲν πρότερος 〈στίχοσ〉 ἀπάτορα τίθησι τὸν Τηλέμαχον, ὁ δὲ δεύτερος ἄπαιδα τὸν Ὀδυσσέα ποιεῖ. Ὡς πρός τι ἔχον ἐστὶ τὸ πρὸς ἕτερον λαμβανόμενον κατ' ἐναντιότητα φθαρτικήν, οἷον νὺξ πρὸς ἡμέραν, ὑγίεια πρὸς νόσον, θάνατος πρὸς ζωήν, σκότος πρὸς φῶς· τὸ γὰρ ὡς ἐπίρρημα ὁμοιωματικόν. Καὶ ἄλλως· τὸ δύο ὄντων ἐναντίων τοῦ ἑνὸς ὀνομαζομένου 〈ποιοῦν〉 μὲν συνυπακούεσθαι τὸ ἕτερον [καὶ τὸ συνεπινοούμενον], ἀλλ' οὐ συναναιροῦν, ἤγουν τὸ κατ' ἐναντιότητα λαμβανόμενον, οἷον νύξ ἡμέρα, θάνατος ζωή· τὸ γὰρ ὡς ἐπίρρημα ὁμοιωματικόν ἐστιν. 〈Heliodori.〉 —Ὡς πρός τί ἐστι τὸ κατά τι ὅμοιον τῷ πρός τι· ἔστι γὰρ ὅτε τὸ ὡς τὴν κατὰ μικρὸν ὁμοίωσιν σημαίνει· καὶ [ὅτι] τοῦτο ἴδιόν ἐστι τῶν πρός τι, τὸ δύο ὄντων ἑνὸς ὀνομαζομένου συνυπακούεσθαι πάντως τὸ ἕτερον, ἀναιρεθέντος δὲ τοῦ ἑνὸς συναναιρεῖσθαι καὶ τοῦ ἑτέρου τὴν ὀνομασίαν εὐθέως.

388 Ἐπὶ μέντοι τῶν ὡς πρός τι οὐχ ὁ αὐτὸς λόγος ἐστίν· οὐ γὰρ ἂν ἀναιρεθῇ ἡ νὺξ ἡ ἡμέρα συναναιρεῖται, ἀλλ' ἔτι μᾶλλον ἔσται νὺξ ἡμέρας προσδοκωμένης. Ὅμως μέντοι ἐπεὶ ἔχουσι γειτνίασιν πρὸς ἀλλήλας ἡ ἡμέρα, καὶ δοκοῦσί πως συνυπακούεσθαι ἀλλήλαις, διὰ τοῦτο κεκολασμένως ἐκλήθη ὡς πρός τι· τὸ γὰρ ὡς προστεθὲν τῆς μὲν ταὐτότητος αὐτὸ ἀφεῖλε τῆς τοῦ πρός τι, παρόμοιον δὲ αὐτῷ τοῦτο πεποίηκεν, ὥσπερ εἰ λέγει τις τοῦ ἀνθρώπου τὸν ἀνδριάντα ὡς ἄνθρωπον εἶναι, οὐ μὴν αὐτόχρημα ἄνθρωπον. Καί φαμεν κατά τι ὅμοιον εἶναι τὸ ὡς πρός τι τῷ πρός τι, καθὸ καὶ αὐτὸ μὲν πρὸς ἕτερον ἔχει τὴν σχέσιν, ἐκπίπτει δὲ τῆς ὁμοιότητος, καθὸ οὐ συνίσταται, εἰ μὴ ἕτερον ἀποστῇ· οὐδ' ἂν ὕπαρξιν θάνατος σχοίη ἢ φθορά, εἰ μὴ τῆς ζωῆς ἡ στάσις φρούδη γένοιτο· καὶ ἡ ὑγεία ὡς πρὸς τὴν νόσον ἔχει τὴν σχέσιν, καὶ ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡμέρα ὡς πρὸς τὴν νύκτα, καὶ τὸ φῶς ὡς πρὸς τὸ σκότος, καὶ ὁ πλοῦτος ὡς πρὸς τὴν πενίαν, ἀλλ' οὐκ ἄν, καθὼς εἶπον, ἐν ταὐτῷ συσταίη, εἰ μὴ τὸ ἕτερον ἔξω γένοιτο. Διὰ τοῦτο γὰρ καὶ ὡς πρός τι εἴρηται, ὅτι καὶ αὐτὸ κατά τι πρὸς τὴν αὐτὴν ἔννοιαν τῷ πρός τι θεωρεῖται γινόμενον· ὡς γὰρ δεξιὸς πρὸς ἀριστερόν, καὶ πατὴρ πρὸς υἱόν, οὕτω καὶ ἡ νὺξ πρὸς ἡμέραν δοκεῖ λέγεσθαι· ταύτῃ δὲ διαφέρει, ὅτι τὸ μὲν πρός τι ἔχει προσυπακουόμενον τὸ τινός· ἐὰν γὰρ εἴπω «υἱός», λέξει τις πάντως «τίνος;» τὸ δὲ ὡς πρός τι οὐ τοῦτο φαίνεται ἔχον· οὐ γὰρ ἐὰν εἴπω «νύξ», λέξει τις τὸ «τίνος;» ἵνα ἐπαγάγω «τῆς ἡμέρας», ἐπειδὴ ἡ νὺξ ἴδιόν ἐστι διάστημα, οὐ πρὸς ἡμέραν θεωρούμενον· καὶ ἐπειδὴ πάλιν ἡ νὺξ ἀντίκειται τῇ ἡμέρᾳ, ὁ δὲ υἱὸς οὐκ ἀντίκειται τῷ πατρί, ἀλλὰ συνυφίσταται, ἐναντίον δὲ τῷ συνυφισταμένῳ τὸ ἀντικείμενον· τὸ μὲν γὰρ σύνεστι, τὸ δὲ ἀδύνατον συνεῖναι· ἡμέραν γὰρ εἶναι κατὰ ταὐτὸν καὶ νύκτα ἀδύνατον. Ποσαχῶς τὰ πρός τι; Τετραχῶς· φύσει, τύχῃ, τέχνῃ καὶ προαιρέσει· φύσει μέν, ὡς πατὴρ πρὸς υἱόν, τύχῃ δέ, ὡς δοῦλος πρὸς δεσπότην, τέχνῃ δέ, ὡς μαθητὴς πρὸς διδάσκαλον, προαιρέσει δέ, ὡς φίλος πρὸς φίλον. —Ποσαχῶς τὰ ὡς πρός τι; Τετραχῶς· κατὰ ποιόν, κατὰ ποσόν, κατὰ ἄμεσον καὶ κατὰ ἔμμεσον· κατὰ ποιὸν μέν, ὡς τὸ γλυκὺ πρὸς τὸ πικρόν, κατὰ ποσὸν δέ, ὡς τὸ διπλάσιον πρὸς τὸ ἥμισυ, κατὰ ἄμεσον 〈δέ〉, ὡς φῶς πρὸς σκότος, κατὰ ἔμμεσον 〈δέ〉, ὡς δίκαιος πρὸς ἁμαρτωλόν. —Τί διαφέρει τὰ πρός τι τῶν ὡς πρός τι; Ὅτι τὰ μὲν πρός τι σωστικά εἰσι καὶ ἐν τῷ ἅμα ὀφείλουσι λέγεσθαι· οὐ γὰρ εἴρηταί ποτε πατὴρ ἄνευ υἱοῦ, οὐδὲ υἱὸς ἄνευ πατρός· τὰ δὲ ὡς πρός τι ἀναιρετικά εἰσιν· ἀναιρουμένης γὰρ τῆς ζωῆς ἔρχεται ὁ θάνατος, καὶ ἀναιρουμένης τῆς ἡμέρας ἔρχεται ἡ νύξ. Ὁμώνυμον δέ ἐστιν ὄνομα τὸ ἐν διαφόροις οὐσίαις ὑποκείμενο ν.

389 ] Ὁμώνυμόν ἐστι τὸ ἐναντίον τῷ συνωνύμῳ, καὶ λέξις δὲ διὰ μιᾶς φωνῆς δύο ἢ καὶ πλείονας διαφορὰς σημαίνουσα, οἷον Φοῖνιξ 〈κύων〉 · Φοῖνιξ γὰρ καλεῖται ὁ ἀπὸ Φοινίκης καὶ ὁμοίως τὸ δένδρον καὶ ὁ Ἀχιλλέως τροφεύς, καὶ κύων ὁ ἐπίγειος καὶ ὁ θαλάττιος καὶ ὁ οὐράνιος, καὶ τὰ ὅμοια· ἢ καὶ οὕτως· ὁμώνυμόν ἐστιν ὄνομα τὸ κατὰ πολλῶν ὁμοίως τῇ αὐτῇ ὀνομασίᾳ τιθέμενον ἐπί τε κυρίων καὶ προσηγορικῶν, οἷον ἐπὶ μὲν κυρίων, ὡς Αἴας ὁ Τελαμώνιος καὶ ὁ τοῦ Ὀϊλέως, ἐπὶ δὲ προσηγορικῶν, 〈ὡσ〉 κύων ὅ τε χερσαῖος, 〈καὶ〉 κύων ὁ ἀστρῷος, 〈καὶ〉 κύων ὁ θαλάττιος. Καὶ πάλιν ὁμώνυμόν ἐστιν 〈ὄνομα〉 τὸ ὅμοιον διαφόροις δὲ οὐσίαις ὑποκείμενον, ὡς ὁ κύων ὁ χερσαῖος καὶ οἱ λοιποί· προσηγορικὸν μὲν γάρ ἐστιν ὡς ἓν ὄνομα κατὰ πάντων τιθέμενον τῶν κυνῶν καὶ κοινὴν οὐσίαν τούτων σημαῖνον, ὁμώνυμον δέ, ὅτι διαφορᾶς οὔσης τοῦ γένους αὐτῶν, καὶ τῶν μὲν ὄντων θαλαττίων, τῶν δὲ γηγενῶν, ἓν ὄνομα κατὰ ἀμφοτέρων τῶν γενῶν ἐστιν. Διαφέρει δὲ τοῦ συνωνύμου, ὡς ὁμόδουλος τοῦ συνδούλου· ὁμόδουλοι γάρ εἰσιν οἱ μετέχοντες ὁμοίας τύχης δουλικῆς, σύνδουλοι δὲ οἱ σὺν ἀλλήλοις δουλεύοντες. Ἄλλω ς. —Ὁμώνυμα τὰ κατὰ πολλῶν ὁμωνύμως τιθέμενα, ἐπὶ μὲν κυρίων, ὡς Αἴας 〈ὁ Τελαμώνιος καὶ ὁ τοῦ Ὀϊλέωσ〉 , ἐπὶ δὲ προσηγορικῶν, ὡς μῦς θαλάττιος καὶ μῦς γηγενής, καὶ κύων ὅ τε χερσαῖος καὶ ὁ θαλάττιος καὶ ὁ ἀστρῷος· ταῦτα γὰρ τῇ ὁμωνυμίᾳ κοινωνοῦσι, τῇ δὲ φύσει διαφέρουσιν· ἤγουν τὸ κατὰ πολλῶν ὁμωνύμων, ἃ καὶ προσηγορικὰ καλοῦνται. —Ὁμώνυμα δὲ κατὰ φιλοσόφους λέγονται, ὧν ὄνομα μόνον κοινόν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος. Σημείωσαι 〈δέ〉 , ὅτι ἐπὶ τῶν ὁμωνύμων τρία δεῖ ζητεῖν· εἰ ἔστι τῶν ὁμωνύμων, καὶ κατὰ πόσων σημαινομένων, καὶ κατὰ ποίου σημαινομένου ἡ ἐρώτησις γέγονεν. Συνώνυμον δέ ἐστι τὸ ἐν διαφόροις ὀνόμασι τὸ αὐτὸ δηλοῦ ν , καὶ διὰ τοῦτο καλεῖται παρὰ τοῖς φιλοσόφοις καὶ πολυώνυμο ν , οἷον ἄορ ξίφος μάχαιρα φάσγανον σπάθ η.

390 ] Τὸ συνώνυμον διαφόρων ὀνομάτων καὶ πλειόνων συναγωγὴν ἔχει κατὰ τοῦ αὐτοῦ σημαινομένου· ἡ γὰρ σπάθη ἕν τι οὖσα διαφόρως ὀνομάζεται, ἡ αὐτὴ γὰρ καὶ ξίφος καὶ μάχαιρα καὶ ἄορ καὶ φάσγανον καλεῖται, ἕκαστον δὲ τούτων καὶ προσηγορικόν ἐστι κοινὴν οὐσίαν τοῦ ξίφους σημαῖνον. Ἔστι δὲ ἐναντίον τῷ ὁμωνύμῳ τὸ συνώνυμον· τὸ μὲν γὰρ ὁμώνυμον ὄνομα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν ἔχει τὸ αὐτό, πρᾶγμα δὲ διάφορον, ἄλλος γὰρ ὁ τοῦ Ὀϊλέως καὶ ἄλλος ὁ Τελαμώνιος Αἴας, καὶ ἄλλος ὁ θαλάσσιος μῦς καὶ ἄλλος ὁ γηγενής· τὸ δὲ συνώνυμον ἔμπαλιν πρᾶγμα μὲν ἓν καὶ ταὐτὸν δηλοῖ, διαφόροις δὲ καὶ πλείοσιν ὀνόμασιν ὀνομάζει· συνώνυμον γάρ ἔστιν ὄνομα, ὃ διὰ πλειόνων ἓν ὑποκείμενον σημαίνει, οἷον μέροψ βροτός ἄνθρωπος, καὶ τὰ ὅμοια, ἅπερ οἱ Περιπατητικοὶ πολυώνυμα καλοῦσιν. Φερώνυμόν ἐστι τὸ ἀπό τινος συμβεβηκότος τεθέ ν , ὡς Τισαμενός καὶ Μεγαπένθη ς.] — 〈Heliodori〉 . —Ἐπειδὴ φορά ἐστιν ἡ τύχη, φερώνυμον ἐκεῖνο λέγεται τὸ ἀπὸ φορᾶς καὶ τύχης ὠνομασμένον· Μεγαπένθης γὰρ ἐκλήθη, ἐπειδὴ ἀπὸ τύχης τινὸς ὅτε ἐγεννήθη μέγα πένθος κατεῖχε τὴν Ἑλλάδα· ἐπὶ γὰρ τῶν χρόνων τοῦ Ἰλιακοῦ πολέμου 〈ἐ〉 γεγέννητο. Καὶ Τισαμενός ὁμοίως· ἔστι δὲ ὁ Τισαμενὸς Πολυνείκους υἱός, δυστυχήσας σφόδρα διὰ τὴν τελευτὴν τοῦ πατρός, καταδεῆ γὰρ αὐτὸν ὁ πατὴρ κατελελοίπει· ἐπεὶ δὲ ἀνὴρ ἐγένετο, ἐτιμωρήσατο τοὺς Καδμείους ἀνελόντας αὐτοῦ τὸν πατέρα Πολυνείκην, κἀπὶ τούτῳ ὕστερον Τισαμενός ἐκλήθη, τιμωρησάμενος τοὺς ἐχθροὺς τοῦ πατρός. Μεγαπένθης δὲ Μενελάου υἱός, ὃς ταύτην ὕστερον ἔσχε τὴν προσηγορίαν, ὅτι ἐπεγεννήθη μεγάλοις πένθεσι, τῇ τε Ἑλένης ἁρπαγῇ καὶ τοῖς διὰ τὴν ἁρπαγὴν πολλοῖς γενομένοις ἐν Ἰλίῳ κακοῖς. Οὐδὲν δὲ ἧττον 〈δυνατὸν〉 κἀκεῖνα φερώνυμα λέγεσθαι, ὅσα ὡς ἔτυχε λέγονται ὠνομασμένα, ὕστερον δὲ ἀπὸ τύχης τινὸς ἁρμόδια εὑρίσκομεν, ὡς Δημοσθένης· τοῦτον γὰρ ὡς ἔτυχεν ὠνόμασαν οἱ γονεῖς, ὕστερον δὲ σθένος εὑρέθη τοῦ δήμου διὰ τοῦ στόματος τὴν δύναμιν· ὥσπερ Θυέστης πάλιν καὶ Πενθεύς. Ταῦτα δὲ ὁ ποιητὴς ἐπώνυμα καλεῖ, 〈τ 409〉 τῷ δ ’ Ὀδυ [σ ]σεὺς ὄνο μ ’ ἔστω ἐπώνυμον, ἀντὶ τοῦ φερώνυμον, καὶ 〈η 54〉 Ἀρήτη δ ’ ὄνο μ ’ ἐστὶν ἐπώνυμον, ἀντὶ τοῦ φερώνυμον. Διώνυμον δέ ἐστιν ὀνόματα δύο κύρια κα θ ’ ἑνὸς τεταγμέν α.

391 ] Διώνυμόν ἐστι τὸ τῷ κυρίῳ προσηρτημένον καὶ τὴν αὐτὴν ἐκείνῳ δύναμιν ἔχον, οἷον Πάρις ὁ καὶ Ἀλέξανδρος, Πύρρος ὁ καὶ Νεοπτόλεμος, Ξάνθος ὁ καὶ Σκάμανδρος. Διώνυμον γάρ ἐστιν etc. = Σ ν 237, 12—22. 〈Heliodori.〉 —Τοῦ διωνύμου τοῦτό ἐστιν ἴδιον γνώρισμα τὸ ἐπὶ κυρίων μόνων λέγεσθαι, ὡς τὸ Ἀλέξανδρος καὶ Πάρις ἀμφότερα κύρια. Τὸ δὲ Πάρις ὄνομα ἐκ τῆς πήρας κέκληται· ὡς γὰρ ποιμὴν πήραν ἔφερε, καὶ ἐκ τούτου Πάριν αὐτὸν ἐκάλεσαν, καὶ ἔστιν αὐτοῦ κύριον. Ὅταν οὖν ᾖ τὰ δύο ὀνόματα κύρια καθ’ ἑνὸς τεταγμένα, τότε μόνον διώνυμον καλεῖται, ὡς δηλονότι ἐπ’ ἀνθρώπου μόνου καὶ θεοῦ θεωρεῖσθαι τὸ διώνυμον· ἐπὶ γὰρ ἀνθρώπου μόνου καὶ θεοῦ τὸ κύριον τάσσεται τὴν ἰδίαν οὐσίαν ἑκάστου σημαῖνον. Εἰ δέ τις λέγοι, ὅτι 〈καὶ〉 ἦτορ 〈καὶ〉 ψυχή [οὐκ] ἔστι δύο ὀνόματα καθ’ ἑνὸς σημαινομένου τεταγμένα, ἐροῦμεν, ὅτι οὐχὶ κύριά ἐστιν· οὔτε γὰρ τὸ ψυχή οὔτε τὸ ἦτορ κύριόν ἐστιν, ἀλλὰ προσηγορικόν, συνώνυμον ἤτοι πολυώνυμον· προσηγορικὸν μέν, ὡς κοινὴν οὐσίαν σημαῖνον πασῶν τῶν ψυχῶν, συνώνυμον δέ, ὅτι ἐν διαφόροις ὀνόμασι τὸ αὐτὸ δηλοῖ. Οὐκ ἀναστρέφοντος τοῦ λόγου · οὐ γὰρ εἴ τις Ἀλέξανδρο ς , οὗτος καὶ Πάρι ς·] τουτέστιν οὐχ ὁ Ἀλέξανδρος καὶ Πάρις ἐστὶ πάντως, ἀλλ’ ὁ Πάρις πάντως καὶ Ἀλέξανδρος· ἴδιον δὲ καὶ τοῦτο τοῦ διωνύμου τὸ μὴ ἀναστρέφειν. Πολλὰ δὲ τῶν ἀντιγράφων ἔσφαλται· ἡ γὰρ ὀρθότης τοῦ ῥητοῦ αὕτη ἐστίν· « διώνυμον δέ ἐστ ι», φησίν, « ὀνόματα δύο κύρια κα θ ’ ἑνὸς τεταγμέν α»· οὐχ οὕτως δὲ ἔχει τὰ πλεῖστα τῶν ἀντιγράφων, ἀλλὰ « κα θ ’ ἑνὸς κυρίο υ», πάνυ ἀνοήτως. Διώνυμόν ἐστι τὸ μίαν οὐσίαν etc. = Σ ν 237, 23—238, 6. 〈Heliodori.〉 — Ἐπώνυμον δέ ἐστ ι.] Ἐπώνυμόν ἐστι δύο ὀνόματα καθ’ ἑνὸς τεταγμένα, ὧν τὸ μὲν κύριον, τὸ δὲ ἐπίθετον, δύναμιν ἔχον κυρίου διὰ τὸ ἴδιον εἶναι τοῦδέ τινος, ὡς τὸ λευκώλενος καὶ γλαυκῶπις καὶ ἐριούνης· ταῦτα δὲ καὶ ἀντιστρέφουσιν. Καὶ πάλιν· ἐπώνυμόν ἐστιν ἐπιθετικόν, κυρίου τάξιν ἔχον καὶ δυνάμενον ἀπὸ τῆς τοῦ συμβεβηκότος δυνάμεως καθ’ αὑτὸ δηλῶσαι τὸ κύριον, οἷον ὑψιβρεμέτης φανερὸν ὅτι ὁ Ζεύς, καὶ γλαυκῶπις δῆλον ὅτι ἡ Ἀθηνᾶ, καὶ φοῖβος ὁ Ἀπόλλων, καὶ τὰ ὅμοια.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

392 —Ἰστέον δὲ ὅτι τινὲς ταὐτὸν ᾠήθησαν εἶναι τὸ ἐπώνυμον τῷ ἐπιθέτῳ, καθὸ κἀκεῖνο κατὰ κυρίου κεῖται, ἀγνοοῦντες ὅτι πολλή ἐστιν ἡ διαφορὰ τῶν δύο· καὶ γὰρ διαφέρουσιν, ὅτι τὸ μὲν ἐπίθετον κατὰ κυρίων καὶ προσηγορικῶν πολλῶν τίθεται, τὸ δὲ ἐπώνυμον κατὰ ἑνὸς μόνου κυρίου ἰδιαζόντως· καὶ ὅτι τὸ μὲν ἐπίθετον ἐπὶ ἐπαίνου καὶ ψόγου τάσσεται, τὸ δὲ ἐπώνυμον ἐπὶ ἐγκωμίου ἤγουν ἐπαίνου μόνον· καὶ ὅτι τὸ μὲν ἐπίθετον τριγενές ἐστι, τὸ δὲ ἐπώνυμον μονογενές· καὶ ὅτι τὸ μὲν ἐπίθετον χωρὶς κυρίου ἢ προσηγορικοῦ λεχθῆναι οὐ δύναται, ἀλλ᾽ οὐδὲ καθ᾽ ἑαυτὸ λεγόμενον δηλοῖ ἀφ᾽ ἑαυτοῦ τὸ κύριον ὄνομα, τὸ δὲ ἐπώνυμον καὶ χωρὶς κυρίου λέγεται καὶ τὴν χώραν καὶ τὴν σημασίαν τοῦ κυρίου ὀνόματος ἀναπληροῖ, ὡς τὸ ἐνοσίχθων ῥηθὲν σημαίνει ἀφ᾽ ἑαυτοῦ τὸν Ποσειδῶνα. Ὃ καὶ διώνυμον καλεῖτα ι·] τὸ μεθ᾽ ἑτέρου κυρίου, ἤγουν ἐξ ἐνεργείας φυσικῆς ἑπόμενον ὄνομα τῷ κυρίῳ ὀνόματι, ὡς ἐνοσίχθων Ποσειδῶν καὶ φοῖβος [ὁ] Ἀπόλλων· καλεῖται δὲ ἐπώνυμον, ὅτι ἐπὶ ὀνόματος κυρίου τέτακται. —Τί διαφέρει τὸ ἐπώνυμον τοῦ διωνύμου; Τὸ μὲν [γὰρ] διώνυμον ἴσον ἔχει ἑκάτερον ὄνομα κατὰ τὴν σημασίαν, καθὸ κύριον, τὸ δὲ ἐπώνυμον τὸ μὲν κύριον, τὸ δὲ ἐπίθετον. Τοῦτο ἴδιον γνώρισμα τοῦ ἐπωνύμου τὸ αὐτὸ μὲν μὴ εἶναι κύριον, ἀλλ᾽ ἐπίθετον μόνον ἐκείνου, καθ᾽ οὗ λέγεται, καὶ σχεδὸν εἶναι κύριον, ὅτι καθ᾽ ἑνὸς μόνου λέγεται, ἤτοι ἀνθρώπου ἢ θεοῦ· οὔτε γὰρ τὸ φοῖβος ἄλλου ἐστὶν ἐπίθετον ἢ τοῦ Ἀπόλλωνος, οὔτε τὸ ἐνοσίχθων ἄλλου τινὸς ἢ τοῦ Ποσειδῶνος· καὶ ἐπειδὴ ἔπαινον ἀμφότερα δηλοῖ, τό τε φοῖβος καὶ τὸ ἐνοσίχθων, διὰ τοῦτο ἐπώνυμά ἐστιν· εἰ δὲ κύρια ἦν, διώνυμα ἐκαλεῖτο. Ἐπὶ μὲν κυρίου πάντως λέγεται, καὶ διὰ τοῦτο ἐπώνυμον κέκληται, ὅτι ἐπ᾽ ὀνόματος κυρίου τέτακται. Τὸ αὐτὸ δὲ καὶ διώνυμον ἐκάλεσεν, ὅτι ἴδιόν ἐστιν ὄνομα ἐπί τε τοῦ Ποσειδῶνος τὸ ἐνοσίχθων καὶ 〈ἐπὶ〉 τοῦ Ἀπόλλωνος τὸ φοῖβος. Ταύτῃ γοῦν διαφέρει τοῦ ἐπωνύμου 〈τὸ διώνυμον〉, ὅτι τὸ διώνυμον μὲν τὰ δύο κύρια ἔχει, τὸ δὲ ἐπώνυμον ἐπίθετόν ἐστιν ἐπὶ κυρίου πάντως λεγόμενον, καὶ ὅτι ἐκεῖνο μὲν οὐκ ἀναστρέφει, 〈τὸ δὲ ἐπώνυμον ἀναστρέφει〉· ὅτε γὰρ λέγω Ποσειδῶν, δηλῶ πάντως τὸν ἐνοσίχθονα, 〈καὶ λέγων ἐνοσίχθων δηλῶ πάντως τὸν Ποσειδῶνα〉, καὶ πάλιν λέγομεν Ἀπόλλωνα τὸν φοῖβον καὶ φοῖβον τὸν Ἀπόλλωνα. 〈Heliodori.〉 —Κἀνταῦθα δὲ πάλιν σφάλμα ἔχει τὰ ἀντίγραφα· δέον γὰρ γεγράφθαι « ὃ καὶ ἐπίθετον καλεῖτα ι» , « ὃ καὶ διώνυμο ν » γράφουσι, καὶ τὸ ἐπώνυμον διώνυμον λέγουσι, καὶ ὡς πιθανόν τι λέγοντες ἐκεῖνο, ὅτι τὸ ἐπώνυμον αὐτοῦ ἴδιον τούτου μόνου ἐστὶ καθ᾽ οὗ λέγεται, ἐπεὶ δὲ σχεδὸν κύριόν ἐστι, διὰ τοῦτο λέγοιτ᾽ ἂν τὸ αὐτὸ καὶ διώνυμον.

393 Ἐθνικὸν δέ ἐστι ν.] Ἐθνικὸν δέ ἐστι τὸ ἔθνος σημαῖνον, ὡς τὸ Φρύξ· τὸ δὲ Φρύγιος οὐκ ἔστιν ἐθνικόν, εἴ γε τὸ μὲν Φρύξ πρωτότυπον, τὸ δὲ Φρύγιος παράγωγον· εἰ δὲ παράγωγον, καὶ εἴδους κτητικοῦ, ὡς ἀπὸ τοῦ τύπου φαίνεται, εἰς ιος γὰρ λήγει. Ἐθνικόν ἐστι τὸ ἔθνους ἢ πόλεως ἢ δήμου σημαντικόν, οἷον Ἕλλην Ἀθηναῖος Παιανιεύς· κυρίως δὲ ἐθνικόν ἐστι τὸ ἔθνους ὁλοκλήρου δηλωτικόν, τὸ γὰρ Γαλάτης ὄνομα καὶ τὸ Φρύξ χώρας ὁλοκλήρους δηλοῖ· λέγεται μέντοι καταχρηστικῶς ἐθνικὸν καὶ τὸ ἀπὸ μιᾶς πόλεως, οἷον Ἀλεξανδρεύς Μεμφίτης καὶ τὰ ὅμοια. Γίνεται δὲ τὸ ἐθνικὸν τετραχῶς, ἀπὸ γένους, ἀπὸ χώρας, ἀπὸ πόλεως, ἀπὸ βασιλέως· ἀπὸ γένους μέν, ὡς Ἕλλην καὶ βάρβαρος, ἀπὸ χώρας, ὡς Θεσσαλός, ἀπὸ πόλεως, ὡς Φθιώτης, ἀπὸ βασιλέως, ὡς Ἀχαιός καὶ Δαναός. Ἐρωτηματικὸν δέ ἐστι ν , ὃ καὶ πευστικὸν καλεῖτα ι , τὸ κα τ ᾽ ἐρώτησιν λεγόμενο ν , οἷον τίς ποῖος πόσος πηλίκο ς.] Τινές φασιν, ὅτι ταὐτόν ἐστι τὸ ἐρωτηματικὸν τῷ πευστικῷ. Διαφέρει δὲ πεῦσις ἐρωτήσεως τῇδε, ὅτι ἡ μὲν ἐρώτησις ἀπὸ τοῦ ἐρωτῶντός ἐστι μόνου, ἐπειδὴ ἱκανὸν πρὸς τὴν ἐρώτησιν τὸ ἐπινεῦσαι μόνον ἢ ἀνανεῦσαι, οἷον ἔπραξας; ἐνόησας; ἡ δὲ πεῦσις ἅμα τῇ ἐρωτήσει τὴν ἀπόκρισιν θέλει λαμβάνειν, οἷον τίς; ποῦ; πόθεν; καὶ ὅτι ἐρωτηματικὰ μὲν ἔστιν εὑρεῖν ἐν παντὶ μέρει λόγου, πευστικὰ δὲ οὐκ ἔστιν εὑρεῖν ἐν παντὶ μέρει, εἰ μὴ ἐν ὀνόμασι καὶ ἐπιρρήμασι μόνοις, ἐν μὲν ὀνόμασι τίς ποῖος πόσος πηλίκος 〈ποδαπός〉, ἐν δὲ ἐπιρρήμασι πῶς πῇ ποῦ πόθεν πηνίκα. Καὶ χρὴ εἰδέναι, ὅτι τῷ μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τίς ἐπάγεται κύριον ὄνομα, τῷ δὲ ποῖος πᾶν ἐπίθετον πλὴν τῶν ἐπὶ σωματικοῦ μεγέθους κειμένων· καὶ τὸ πόσος ἐπὶ πλήθους, καὶ τὸ πηλίκος ἐπὶ μεγέθους, καὶ τὸ ποδαπός ἐπὶ ἔθνους. Καὶ τοῦτο δὲ πάλιν χρὴ εἰδέναι, ὅτι τὰ μὲν μονοσύλλαβα τῶν ἐρωτηματικῶν ἐγκλινόμενα ἀόριστα γίνεται, ἦλθέ τις καὶ που ἔστι καὶ πη ἀπῆλθε, τὰ δὲ δισύλλαβα καταβιβάζοντα τὸν τόνον, οἷον ποιὸς ἦχος καὶ ποσός τις· καὶ ὅτι τὰ δισύλλαβα καὶ τρισύλλαβα ἀποβάλλοντα τὸ κατ’ ἀρχὴν σύμφωνον ἀναφορικὰ γίνεται, οἷον ποῖος οἷος, πόσος ὅσος, πηλίκος ἡλίκος, [τοῖος οἷος,] τινὰ δὲ καὶ κατ’ ἀρχὴν τὸ ο λαμβάνοντα, ὁποῖος ὁπόσος ὁπηλίκος· τὰ δὲ λαμβάνοντα κατ’ ἀρχὴν τὸ τ ἀνταποδοτικὰ γίνεται, ὅσος τόσος, οἷος τοῖος, ἡλίκος τηλίκος, ἅτινα καὶ παράγεται διὰ τοῦ ουτος , τοιοῦτος τοσοῦτος τηλικοῦτος, καὶ ἐπεκτείνεται διὰ τοῦ δε , τοιόσδε τοσόσδε τηλικόσδε.

394 Τὸ τίς μόριον ὅτε μὲν ὀξυτονεῖται, τότε ἐρωτηματικόν ἐστιν, ἐὰν δὲ ἐγκλίνηται, ἀόριστον ἢ ἀποφαντικόν, καὶ ἀρσενικοῦ καὶ θηλυκοῦ κοινόν· τὸ δὲ μόριον τοῦτο οὐδετέρως ἐκφερόμενόν ἐστι πτώσεως ὀρθῆς καὶ αἰτιατικῆς τῶν ἑνικῶν. Διαφέρει δὲ ἐρωτηματικὸν τοῦ πευστικοῦ ταύτῃ, ὅτι πευστικαὶ μὲν λέξεις ἐννέα μόναι εἰσίν, τέσσαρες ὀνομάτων καὶ πέντε ἐπιρρημάτων· τῶν μὲν ὀνομάτων ταῦτα, τίς ποῖος πόσος πηλίκος, ἐπιρρημάτων δὲ πῇ ποῦ πότε πηνίκα πῶς· ἐρωτηματικαὶ δὲ σχεδὸν εἰπεῖν πᾶσαι αἱ λέξεις· δύναται γὰρ πᾶσα λέξις εἶναι ἐρωτηματική, τῆς φωνῆς καὶ τῆς ὑποκρίσεως μόνον καθελκομένης. Διαφέρει δὲ πευστικὸν ἐρωτηματικοῦ etc. = Σ v 239, 14—18. Ἰστέον ὅτι τὰ ὑπὲρ μίαν συλλαβὴν etc. = Σ v 239, 28—240, 2. Ἀόριστον δέ ἐστι τὸ τῷ ἐρωτηματικῷ ἐναντίο ν.] Τὸ ἀόριστον etc. = Σ h 68, 4—9. Ἀόριστον τοίνυν ὅτι μὴ ὁρίζει etc. = Σ v 240, 18—25. Διὰ τοῦτο ἐναντίον εἶπε τῷ ἐρωτηματικῷ, ὅτι περὶ ὡρισμένου τοῦ πράγματος βουλόμεθα μαθεῖν· ἐν δὲ τῷ ἀορίστῳ οὐ περὶ ὁριζομένων, 〈ὡσ〉 τὸ 〈Γ 167〉 ὅστις ὅ δ ’ ἐστὶν Ἀχαιὸς ἀνὴρ ἠύς τε μέγας τ ε , καὶ πάλιν 〈Υ 250〉 ὁπ〈π〉οῖόν κ ’ εἴπῃσθα ἔπο ς, καὶ πάλιν 〈ubi?〉 ὅστις δ ’ ὁμιλῶν (sic): ἐν δὲ τῷ ἐρωτηματικῷ περὶ πράγματος ὅρον ἔχοντος βουλόμεθα γνῶναι, ὡς τὸ «ποῖος 〈Αἴασ〉 ; ὁ Τελαμώνιος ἢ ὁ ’Οϊλέως;» Καὶ κατ’ ἄλλον δὲ τρόπον ἐναντίον ἐστὶ τὸ ἐρωτηματικὸν τῷ ἀορίστῳ· λέγομεν γὰρ ἐρωτῶντες «τίς οὗτος;» εἶτα ἐπάγομεν ἀορίστως «ὁστισδήποτε»· «ποῖος Αἴας;» «ὁποιοσδήποτε»· «πηλίκος τὴν δύναμιν;» «ὁπηλικοσδήποτε». Ἀναφορικὸν δέ ἐστι τὸ δηλοῦν ἀναφορὰν ἤγουν ἀναπόλησιν καὶ μνήμην ἐγνωσμένου τινὸς καὶ ἀπόντο ς.] Ἀναφορά ἐστιν ἐγνωσμένου καὶ ἀπόντος τινὸς προσώπου ἀναπόλησις, ὡς ὅταν ἐγνωκότι σοι τὸν Ἀχιλλέα εἴπω «οἷος ὁ δεῖνα, τοιοῦτος ἦν Ἀχιλλεύς»· καὶ λοιπὸν ἀναφέρω σου τὸν νοῦν, ἐν οἷς τὴν μνήμην ἔχεις, εἰς τὸν προεγνωσμένον Ἀχιλλέα, καὶ ἀναπολεῖν ἄρχῃ τὸν Ἀχιλλέα ἐκεῖνον τὸν ἐξ Ὁμηρικῶν ἐπῶν ἢ ἀπὸ γραφῆς σοι ἐγνωσμένον.

395 Τοῦτο δὲ τὸ ἀναφορικὸν καὶ ὁμοιωματικὸν καὶ δεικτικὸν καὶ ἀνταποδοτικὸν καλεῖται ἀπὸ τῆς αὐτῆς ἐννοίας. Τὸ γοῦν ἀναφορικὸν ἀναφορὰν σημαίνει· ἀναφορὰ δέ ἐστιν ἀνάμνησις προεγνωσμένου προσώπου καὶ ἀπόντος τινὸς γνῶσις καὶ ἀναπόλησις. Ἀναφορικὸν δὲ καλεῖται, ὅτι ἀναφέρει πρὸς τὸ ὅμοιον, ὡς [ἐκεῖνος] 〈Δ 399〉 τοῖος ἔην Τυδεὺς Αἰτώλιο ς· δεικτικὸν δέ, ὅτι δεικνύντες λέγομεν, οἷον 〈Π 847〉 τοιοῦτοι δ ’ εἴπερ μοι ἐείκοσιν ἀντεβόλησα ν· τὸ αὐτὸ δὲ καὶ ὁμοιωματικὸν καλεῖται, ὁ γὰρ νοῦς τοιοῦτος, «εἰ δὲ τοιοῦτοι εἴκοσιν ὅμοιοί σοι ἀπήντησάν μοι, πάντας ἂν παραχρῆμα ἀνεῖλον»· ἀνταποδοτικὸν δέ, ὅπερ ἀνταποδιδόντες πρὸς τὸ ὅμοιον λέγομεν, 〈ς 136〉 τοῖος δ ’ αὖ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων, καὶ 〈Υ 250〉 ὁπ〈π〉οῖόν κ ’ εἴπῃσθα ἔπο ς , τοῖόν κ ’ ἐπακούσαι ς· τὸ γὰρ ὁποῖον ἀνταποδοτικόν ἐστιν. Μιᾶς δὲ δυνάμεώς ἐστι τὰ τέσσαρα, ἕκαστον γὰρ αὐτῶν ὁμοίωσιν σημαίνει, διαφόρους μὲν ὀνομασίας ἔχοντα, ἐφ’ ἓν δὲ καταστρέφοντα, τὴν ὁμοίωσιν. Περιληπτικὸν δέ ἐστι τὸ τῷ ἑνικῷ ἀριθμῷ καὶ χαρακτῆρι πλῆθος σημαῖνο ν.] Τί γοῦν, ὅτε πληθυντικῶς αὐτὸ λέγομεν, οὐκέτι περιληπτικόν ἐστιν; Ναί, λεκτέον δή, καὶ ὅτε πληθυντικῶς αὐτὸ λέγομεν, περιληπτικόν ἐστιν, οἷον οἱ δῆμοι, οἱ χοροί· ἀλλ’ οὐκ ἔδει αὐτὸν εἰπεῖν «τὸ δι’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑνικοῦ ἀριθμοῦ πλῆθος σημαῖνον»· οὐδὲ γὰρ μόνῳ τῷ ἑνικῷ ἀριθμῷ πλῆθος περιλαμβάνομεν· ἐν γὰρ τῷ δῆμος ἑνικῷ τύπῳ πλῆθος περιλαμβάνομεν, καὶ πάλιν ἐν τῷ δῆμοι πολλοὺς δήμους δηλοῦμεν συνηγμένους ἐκ διαιρέσεως ἑκάστης πλῆθος περικλειούσης. Διὰ τοῦτο οἱ ποιηταὶ πρὸς τὸ σημαινόμενον ὑπαντῶντες πληθυντικὰ ἐπάγουσι ῥήματα, 〈Υ 166〉 ἀγρόμενοι πᾶς δῆμος, 〈Ο 305〉 ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντ ο. Περιληπτικὸν δὲ λέγεται ὄνομα, ὅταν ὁ μὲν χαρακτὴρ ἑνικὸς ᾖ, ἐμφαίνηται δὲ διὰ τοῦ σημαινομένου πολύ τι πλῆθος· εἴρηται δὲ περιληπτικὸν ἀπὸ τοῦ περιέχειν τὰ ἐξ αὐτοῦ σημαινόμενα, οἷον, ὡς ὁ τεχνικὸς παραβάλλει, δῆμος χορός καὶ τὰ ὅμοια. Ἐπιμεριζόμενόν ἐστι τὸ ἐκ δύο 〈ἢ〉 καὶ πλειόνων ἐπὶ ἓν ἔχον τὴν ἀναφορά ν , κατὰ διαίρεσιν ἢ συναίρεσι ν , οἷον ἑκάτερος ἕκαστο ς , οἷον 〈Ephes. 4, 7〉 ἑνὶ ἑκάστῳ ἐδόθη 〈ἡ〉 χάρις κατὰ τὸ μέτρο ν.] Καὶ ὁ ὅρος etc. = Σ h 68, 32—69, 13. Τὸ ἐκ δύο ἢ καὶ πλειόνω ν.

396 ] Τὸ μὲν ἐκ δύο ἐστὶ τὸ ἑκάτερος, τὸ δὲ ἐκ πλειόνων τὸ ἕκαστος· «ἀναφοράν» δὲ λέγει τὴν κατάντησιν· ἐπὶ ἓν γὰρ ἀναφέρεται τὸ ἑκάτερος καὶ ἕκαστος ὄνομα. «Ἐπιμεριζόμενον» δὲ ἀντὶ τοῦ ἐπιμερίζον· μερίζει γὰρ τοὺς μὲν δύο ἐν τῷ ἑκάτερος, τοὺς δὲ πλείονας ἐν τῷ ἕκαστος. Καὶ πάλιν ἐπιμεριζόμενόν ἐστι τὸ ἐναντίον τῷ συναπτικῷ, καὶ τὸ τὰ συνηγμένα διαιροῦν καὶ μερίζον, οἷον ἑκάτερος ἕκαστος· συναπτικὸν δέ ἐστι τὸ τὰ κεχωρισμένα συνάγον καὶ μὴ διαμερίζον, οἷον πολλοί ἀμφότεροι. Περιεκτικὸν δέ ἐστι τὸ ἐμφαῖνον ἐν ἑαυτῷ τι περιεχόμενο ν , οἷον δαφνών ἐλαιών παρθενών · τὸ μέντοι κυκεών οὐκ ἔστι περιεκτικό ν.] Περιεκτικόν δέ ἐστι, φησίν etc. = Σ h 69, 15—25. Πάλιν δὲ διαφέρει τοῦ περιληπτικοῦ, ὅτι ἐκεῖνο ἄδηλον τίνα περιλαμβάνει ὅσον ἀπὸ τῆς φωνῆς, τὸ δὲ περιεκτικὸν δηλοῖ καὶ τὰ περιεχόμενα· καὶ ὅτι. ἐν τῷ περιληπτικῷ αὐτὸ τὸ περιέχον ἐστίν, ἐν δὲ τῷ περιεκτικῷ αὐτὸ τὸ περιεχόμενον· καὶ τοῦ ἑνὸς διαλυομένου διαφορὰ γίνεται· τὸ δὲ περιεκτικὸν οὐχ οὕτως, εἰ γὰρ ἀφέλοις τὰ περιεχόμενα, οὐκ ἀπώλετο τὸ περιεκτικόν. Τί διαφέρει τὰ περιεκτικὰ τῶν ὡς περιεκτικῶν; Ὅτι τὰ μὲν περιεκτικὰ ἐμφαίνει τὸ περιεχόμενον, τὰ δὲ ὡς περιεκτικὰ τὴν γραφὴν μόνην τῶν περιεκτικῶν φυλάττει, φωνὴ γὰρ μόνη ἐστὶν ἐμφαντικὴ πλήθους· τὸ δὲ περιεκτικὸν ἄλλο δηλοῖ τὸ περιέχον καὶ ἄλλο τὸ περιεχόμενον. Πεποιημένον δέ ἐστι τὸ παρὰ τὰς τῶν ἤχων ἰδιότητας μιμητικῶς εἰρημένο ν.] Πεποιημένον ἐστὶ etc. = Σ h 69, 27—70, 3. Τὸ παρὰ τὰς τῶν ἤχων ἰδιότητα ς.] Πεποιημένον ἐστίν, ὅταν etc. = Σ v 242, 10—21. Πεποιημένον δέ ἐστιν ὃ διὰ τῆς οἰκείας ὀνομασίας μιμεῖται τοῦ λεγομένου τὸν κτύπον, ὡς τὸ 〈ex. gr. N 530〉 βόμβησε, 〈Δ 125〉 λίγξε βιό ς· ῥοῖζος δέ ἐστιν ὁ συριγμός· Ὅμηρος, 〈K 502〉 ῥοίζησε〈ν〉 δ ' ἄρα πιφαύσκων Διομήδεϊ δί ῳ . Γενικὸν δέ ἐστι τὸ δυνάμενον εἰς πολλὰ εἴδη διαιρεθῆνα ι , οἷον ζῷον 〈φυτόν · εἰδικὸν δέ ἐστι τὸ ἐκ τοῦ γένους διαιρεθέ ν , οἷον〉 βοῦς ἵππος κύων ἄμπελος ἐλαί α.] Γενικόν ἐστιν ἐκεῖνο, ὃ δύναται τμῆσιν εἰδικὴν ἀναδέξασθαι, ὡς ἔχει τὸ ζῷον καὶ τὸ φυτόν· τὸ γὰρ ζῷον τέμνεται εἰς εἴδη, ἤγουν εἰς ἄνθρωπον, εἰς ἵππον, εἰς λέοντα, ὁμοίως δὲ καὶ τὸ φυτὸν εἰς εἴδη, εἰς ἄμπελον καὶ ἐλαίαν, ὡς καὶ ὁ τεχνικὸς λέγει. 〈Heliodori.

397 〉 —Καὶ ἄλλως. —Γενικὸν ὄνομά ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον· πολλὰ γὰρ εἴδη τὸ ζῷον ἔχει ὑφ' ἑαυτό, καὶ τὸ φυτὸν ὁμοίως, ὅπερ εἰδὼς ὁ τεχνικὸς 〈αὐτὰ〉 τέταχε· φυτὸν γὰρ τὸ γένος, καὶ πᾶν φυόμενον ὑπὸ τοῦτο ἀνάγεται. Ὁρίζονται δὲ οἱ φιλόσοφοι τὸ εἶδος τοῦτον τὸν τρόπον· εἶδός ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον· οὐκέτι γὰρ τῷ εἴδει διαφέρει ὁ ἄνθρωπος τοῦ ἀνθρώπου, ἀλλὰ τῷ ἀριθμῷ. Καλῶς λοιπὸν ὁ τεχνογράφος τὰ πάνυ γενικώτατα ἐξελέξατο, οἷς ὑποβέβληται ἄλλα γένη· τῷ μὲν γὰρ ζῴῳ ὑπόκειται τὸ ἑρπετόν, γενικὸν καὶ αὐτό· ἄλλο γὰρ ἔχις καὶ ἄλλο ἀσπίς καὶ ἄλλο δράκων καὶ ἄλλο φύσαλος, ὃ καὶ ὠνομάσθαι μοι δοκεῖ ἀπὸ τοῦ ὄφις ἄλλος, καὶ πολλὴν ἄν τις εὕροι τοῦ ἑρπετοῦ διαφοράν· καὶ τὸ ὄρνεον δὲ γενικὸν ὑπόκειται τῷ ζῴῳ, πολλὴ γὰρ ὀρνέων διαφορά· ὁμοίως δὲ καὶ πᾶν τετράπουν ὑπὸ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ζῷον τὸ γενικόν ἐστι, πολλὴ δὲ καὶ τῶν τετραπόδων ἡ διαφορά. Ἔστιν οὖν τὸ ζῷον γένος· κληθείη δ’ ἂν ὀρθῶς ἀμφότερα ταῦτα, τό τε ζῷον καὶ τὸ φυτόν, γένη γενῶν, διόπερ ὁ τεχνογράφος ταῦτα ἔθηκεν, ὡς γενικώτατα καὶ ἐπιδεχόμενα πάλιν 〈εἰς γένη〉 διαίρεσιν. Ἔστι δὲ εἴδη τοῦ μὲν ζῴου ἄνθρωπος ἵππος βοῦς καὶ ὁμοίως ἕκαστον τῶν ἄλλων ζῴων· τὸ αὐτὸ δὲ καὶ προσηγορικόν, ὡς κοινὴν οὐσίαν σημαῖνον, ὁ μὲν ἄνθρωπος κοινῇ πάντων τῶν ἀνθρώπων, ὁ δὲ βοῦς κοινῇ πάντων τῶν βοῶν, ὁμοίως καὶ ἕκαστον τῶν ἄλλων ζῴων· ὥστε εἴ τι μὲν εἰδικόν, τοῦτο πάντως καὶ προσηγορικόν, οὐκ εἴ τι δὲ προσηγορικόν, τοῦτο πάντως καὶ εἰδικόν· ὁ γοῦν λίθος προσηγορικὸν μέν ἐστιν, οὐκ εἰδικὸν δέ· οὐδὲ γὰρ ἔκ τινος τῶν γενικῶν διῃρέθη, ἐπεὶ οὔτε ζῷον ὁ λίθος οὔτε φυτόν. Εἰδικὸν δὲ etc. = Σ h 70, 6—11. Τί ἐστιν εἰδικόν; Τὸ ἀπὸ γένους διαιρεθέν, οἷον βοῦς καὶ ἵππος ἀπὸ γένους τοῦ ζῴου, ἄμπελος καὶ ἐλαία ἀπὸ γένους τοῦ φυτοῦ. Τοῦτο γνώρισμα τοῦ εἰδικοῦ, τὸ εἶναι μέρος τοῦ γενικοῦ· τὸ γὰρ γένος συνέστηκεν ἐκ τῶν καθ’ ἕκαστα εἰδῶν· ὁ γὰρ βοῦς ζῷον ὢν μέρος ἐστὶ τοῦ γενικοῦ ζῴου. Τί δέ ἐστι τὸ γενικὸν ζῷον; Τὸ καθ’ ὅλων τῶν ζῴων λεγόμενον· ὡσαύτως καὶ φυτόν. Τὰ δὲ διαιρούμενα ἐκ τῶν γενικῶν τούτων εἰδικὰ καλεῖται, τουτέστιν εἴδη, τὸ γὰρ εἰδικὸν ταὐτόν ἐστι τῷ εἴδει. Εἶδος δέ ἐστι τὸ ἐκ τοῦ γένους ἀφῃρημένον καὶ ἰδίᾳ μεμορφωμένον· ὡς γὰρ τοῦ ἀνδριάντος ὕλη μέν ἐστιν ὁ χαλκός, εἶδος δὲ αὐτὴ ἡ μορφή, οὕτω καὶ τὸ γένος μὲν ὕλη καλεῖται, τὰ δὲ ἐκ τούτου διαιρεθέντα εἴδη· ἕκαστον γὰρ αὐτῶν εἶδός ἐστι, καὶ μορφὴ διάφορος· ἄλλο γὰρ τοῦ ἀνθρώπου εἶδος, καὶ ἄλλο τοῦ βοός, καὶ τῶν ἄλλων τῶν εἰδικῶν ἕκαστον ἰδίως μεμόρφωται.

398 〈Heliodori.〉 — Τακτικὸν δέ ἐστι τὸ τάξιν καὶ ἁρμονίαν σημαῖνο ν , ὡς πρῶτος δεύτερος τρίτο ς·] τάξεως γὰρ ὀνόματα ταῦτα καὶ οὐκ ἀριθμῶν· τὸ γὰρ τακτικὸν ἐξαρίθμησιν οὐ ποιεῖται, τάξιν δέ, τὸ 〈δὲ〉 ἀριθμητικὸν τάξεως ἀμνημονεῖ, ποιεῖται δὲ λόγον ἐξαριθμήσεως. Ἀριθμητικὸν δέ ἐστι τὸ ἀριθμὸν σημαῖνο ν , οἷον 〈εἷσ〉 δύο τρεῖ ς.] Ἀριθμητικόν ἐστιν etc. = Σ v 243, 1—7.

〈Heliodori.〉 — Ἀπολελυμένον δέ ἐστιν ὃ κα θ ’ αὑτὸ νοεῖται μὴ ἔχον σχέσιν πρὸς ἕτερο ν , οἷον θεός λόγο ς.] Ἐπειδὴ ἀπήλλακται καὶ ἐκτός ἐστι καὶ ὥσπερ ἐλεύθερον τοῦ πρὸς ἕτερόν τι νοεῖσθαι, διὰ τοῦτο ἀπολελυμένον αὐτὸ εἶπε· τῶν μὲν γὰρ ἄλλων ἕκαστον ἔχει πρὸς ὃ νοεῖται, οἷον τὸ συγκριτικόν· τὸ γὰρ καλλίων πρὸς τὸ καλός νοεῖται, καὶ ἕκαστον τῶν συγκριτικῶν πρὸς τὸ πρωτότυπον θεωρεῖται· καὶ τὸ πατρωνυμικόν, οἷον Ἀτρείδης, ἀπὸ γὰρ τοῦ Ἀτρεύς γέγονε· καὶ τὰ πρός τι δὲ πρὸς ἕτερον νοεῖται, ὡς ὁ ἀριστερὸς πρὸς τὸν δεξιόν, καὶ ὁ πατὴρ πρὸς τὸν υἱόν, καὶ ὅλως ἕκαστον τῶν ἐν τῷ περὶ ὀνόματος οὕτως εὑρεθήσεται. Τὸ μέντοι θεός ὄνομα καὶ τὸ λόγος οὐκ ἔχει πρὸς ὃ νοηθήσεται· οὔτε γὰρ συγκρίνοντες λέγομεν θεός ἢ λόγος, οὔτε ἀπὸ πρωτοτύπου παράγοντες, οὔτε ἄλλο οὐδέν· ἀλλ’ ἔστι προσηγορικόν, κοινὴν γὰρ οὐσίαν σημαίνει πάντων τῶν θεῶν, ὅμως δὲ ἐπεὶ ἀπήλλακται τῶν ἄλλων πάντων, αὐτὸ πρὸς ἑαυτὸ ὠνόμασε, τὸ ἄσχετον ἄντικρυς λέγων, τουτέστιν οὐκ ἔχον σχέσιν πρὸς ἄλλο τῶν τοῦ ὀνόματος· ὡς γὰρ αὐτὸς ὁ θεὸς ἄσχετός ἐστι καὶ οὐκ ἔχει πρὸς ἄλλο σχέσιν, πᾶσαν γὰρ φύσιν ὑπερβαίνει, ὁμοίως δὲ καὶ ὁ λόγος, ἱερὸς ὢν τὴν φύσιν καὶ θεῷ μάλιστα ἀνακείμενος, αὐτὸς πρὸς ἑαυτὸν νοεῖται, οὐκ ἔχων οὔτε κάλλιόν τι ἑαυτοῦ ἕτερον οὔτ’ ἴσον, οὕτω καὶ αὐτὸ μόνον αὐτοῦ τὸ ὄνομα ἄσχετόν ἐστι, τουτέστιν οὐκ ἔχει πρὸς ἄλλο σχέσιν. Ἀπόλυτον γάρ ἐστιν, ὃ καθ’ ἑαυτὸ δύναται νοεῖσθαι καὶ οὐδενὶ τούτων ὑποπέπτωκεν, οἷον θεός λόγος· καὶ ὡς αὐτὸς ὁ τεχνικὸς εἶπε, τὰ μὲν ἄλλα τῶν εἰδῶν etc. = Σ h 70, 22—25. Μετουσιαστικὸν δέ 〈ἐστι〉 τὸ μετέχον οὐσίας τινό ς , οἷον πύρινος δρύϊνος ἀμμώδη ς.] Τὰ γὰρ μετουσιαστικὰ ἐμφερῆ μὲν τοῖς κτητικοῖς ὑπάρχουσιν, ἐκείνοις δὲ κυρίως συντάσσονται τοῖς μετέχουσι τῆς οὐσίας τῶν πραγμάτων, ὧν αἱ πρωτότυποι φωναὶ σημαντικαί εἰσιν, ἀφ’ ὧν καὶ παρήχθησαν, οἷον ξύλινος πίναξ, ὀστράκινον σκεῦος, δρύϊνος ἱστός, ἀμμώδης ὁδός· καταχρηστικῶς δὲ τοῖς κατά τι ὁμοίωσιν πρὸς τὰ πράγματα ἔχουσιν, ὡς πολλάκις εἰώθαμεν λέγειν λιθίνην καρδίαν τὴν τραχύτητι λίθου κατὰ τὴν διάθεσιν ὁμοίαν, καὶ νοῦν κτηνώδη τὸν κατὰ τὸν βίον τοῖς κτήνεσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁμοιούμενον· καὶ συντόμως εἰπεῖν πρὸς τὰ κύρια καὶ προσηγορικὰ σύνταξιν ἔχουσιν ὡς καὶ τὰ ἐπίθετα· καὶ τριγενῆ δέ εἰσιν, οἷον ξύλινος στύλος, ξυλίνη θύρα, ξύλινον ἔδαφος, ὁμοιογενῶς καὶ ὁμοιοπτώτως συγκλινόμενα.

399 Τοῦ δὲ ὀνόματος διαθέσεις εἰσὶ δύ ο , ἐνέργεια καὶ πάθο ς.] Διαθέσεις μᾶλλον etc. = Σ h 70, 27—35. Ἡ γοῦν διάθεσις τῷ ῥήματι, ὡς εἴρηται, παρέπεται, οὐ τῷ ὀνόματι· τὰ μέντοι ῥηματικὰ τῶν ὀνομάτων ἀναγκαίως σχήσει τὰς ἀπὸ τῶν ῥημάτων διαθέσεις, οἷον ἀπὸ τοῦ κρίνω ἐνεργητικοῦ ὁ κριτής γέγονεν ἐνέργειαν σημαίνων, ἀπὸ δὲ τοῦ κέκριται παθητικοῦ ὁ κριτός πάθος δηλῶν. § 13 (15b). Περὶ ῥήματος. Ἀναγκαίως μετὰ τὸ ὄνομα etc. = Σ h 71, 2—73, 6. Ῥῆμά ἐστι λέξι ς.] Μὴ ταραττέτω σε etc. = Σ v 244, 11—28. Παρέπεται δὲ τῷ ῥήματι ὀκτ ώ , ἐγκλίσει ς , διαθέσει ς , εἴδ η , σχήματ α , ἀριθμο ί , πρόσωπ α , χρόνοι καὶ συζυγία ι·] κατὰ μίμησιν τῶν ὀκτὼ μερῶν τοῦ λόγου. Πόσαι ἐγκλίσεις; Καταχρηστικῶς μὲν πέντε, ὁριστική, προστακτική, εὐκτική, ὑποτακτικὴ καὶ ἀπαρέμφατος, κυρίως δὲ τέσσαρες· ἡ γὰρ ἀπαρέμφατος οὐκ ἔστι κυρίως ἔγκλισις, ἀλλὰ καταχρηστικῶς, ἐπειδὴ κυρίως ἔγκλισις ἡ ἔχουσα βούλημα ψυχῆς· ἡ δὲ ἀπαρέμφατος ὡς μὴ ἔχουσα βούλημα ψυχῆς εἰκότως οὐδὲ ἔγκλισις λέγεται. Τί ἐστιν ἔγκλισις; Βούλησις ψυχῆς διὰ φωνῆς σημαινομένη. 〈Heliodori〉. —Ἔγκλισίς ἐστι 〈σχῆμα φωνῆς ποιὰν κίνησιν τῆσ〉 ψυχῆς ἀναφαῖνον ἐπί τι τρεπομένης· προσκλίνεται δὲ ἡ ψυχὴ ἢ ὡς ὁριζομένη τὰ παρ’ αὐτῆς δρώμενα, οἷον τύπτω, ἢ προστάσσουσα, 〈οἷον τύπτε,〉 ἢ εὐχομένη, 〈οἷον τύπτοιμι,〉 ἢ διστάζουσα, 〈οἷον ἐὰν τύπτω,〉 ἢ οὐδὲν τούτων δηλοῦσα, μόνον δὲ τὸ ὄνομα τοῦ πράγματος προβαλλομένη, οἷον τύπτειν.

400 Οὕτως [ὡς] τὸ ὑπόμνημ α. Προτέτακται δὲ ἡ ὁριστική, ὅτι ποικίλας ἔχει φωνὰς καὶ τὸ θέμα τοῦ ῥήματος, ἐξ οὗ πᾶσαν 〈τὴν〉 τῶν ῥημάτων διδασκόμεθα τεχνολογίαν, καὶ ὅτι ὅλους τοὺς χρόνους ὄντας ἐν ἑαυτῇ δηλοῖ, καὶ ὅτι μετὰ θέματος ὁριζομένη λόγον ἀπαρτίζει, οἷον θέλω ποιεῖν, βούλομαι γινώσκειν. Τινὲς δὲ τῆς ὁριστικῆς βούλονται προτάττειν τὴν ἀπαρέμφατον. Πρὸς οὕς φαμεν· πᾶν πρᾶγμα διὰ προσώπου ὁρᾶται· ἄξιον οὖν τὸ πρόσωπον προτάττεσθαι, ἕπεσθαι δὲ τὸ πρᾶγμα, ὅτι καὶ πρῶτον τὸ πρόσωπον γνωρίζεται, δεύτερον δὲ τὸ πρᾶγμα διὰ τοῦ προσώπου ἐστὶ γνωριζόμενον. Δευτέρα δὲ ἡ ἀπαρέμφατος· αὕτη γὰρ κυρίως ῥῆμα καθαρὸν οὐσίας μὴ καταμιγνυμένης, ὅτι εἰς αὐτὴν ἀναλύονται αἱ λοιπαὶ ὡς πρωτότυπον· καὶ ἄρθρον ταῖς ἀπαρεμφάτοις συντάσσεται, ὄνομα γὰρ τοῦ ῥήματος. Τρίτη δὲ ἡ προστακτική, ἐπεὶ μηδὲ πρῶτον ἔχει πρόσωπον. Τινὲς δὲ λέγουσιν, 〈ὅτι〉 ἔδει προτάττειν τὴν εὐκτικήν· οὐ λείποντα γὰρ ἔχει πρόσωπα καὶ χρόνους. Πρὸς οὕς φαμεν, ὅτι εὐλόγως προτέτακται ἡ προστακτική, διότι μᾶλλον τῆς εὐκτικῆς κοινωνεῖ τῇ ὁριστικῇ, καὶ δεῖ κοινωνοῦσαν πρώτην εἶναι· τὸ γὰρ γράφε ἰσοσύλλαβόν· ἐστι τῷ γράφω, τὸ δὲ γράφοιμι πλείω φωνὴν παρήγαγε. Τετάρτη ἡ εὐκτική, ὡς πλείους ἔχουσα τὰς φωνάς. Πέμπτη δὲ ἡ ὑποτακτική, διότι σχεδὸν οὐδὲ ἀπὸ ῥήματος ἄρχεται, ἀλλ’ ἀπ’ ἐκείνων οἷς ὑποτέτακται· αὕτη καλεῖται καὶ ἐπιζευκτική, διὰ τὸ ἐπιζεύγνυσθαι τοῖς συνδέσμοις, καὶ διστακτική, ὅτι διστάζων λέγω «ἐὰν πλουτήσω, δίδωμί 〈σοι〉 πέντε δραχμάς», καὶ αἰτιολογική, «ἵνα ἀναγνῶ 〈ἐτιμήθην〉», καὶ ἐπηρμένη· μείζων γὰρ κατὰ τὴν φωνὴν τῆς ὁριστικῆς, ποιεῖς ἐὰν ποιῇς. Ἡ ὁριστικὴ λέγεται καὶ ἀποφαντική, ἡ ἀπαρέμφατος καλεῖται 〈καὶ〉 κατηγορική· κατηγορεῖται γὰρ τῶν πραγμάτων, ἃ δι’ αὐτῆς ὀνομάζεται. Αἱ ἐγκλίσεις οὖν δηλοῦσι διαθέσεις ψυχῆς· ἢ γὰρ ὁριζόμεθα etc. = Σ v 245, 11—22: διὰ τοῦτο οὐδὲ κυρίως ἔγκλισις· ἡ δὲ προστακτικὴ ἀπὸ τοῦ προστάσσειν εἴρηται, οἷον λέγε τύπτε. Ἔγκλισις οὖν σχῆμα φωνῆς ποιὰν τῆς ψυχῆς κίνησιν ἐμφαῖνον. Τί ἐστι διάθεσις; Ἡ τοῦ σώματος μετάθεσις. Καὶ ἄλλως· δρᾶσις ἢ πεῖσις, ἐν αἷς διατίθεται καὶ καταγίνεται ἡ ψυχὴ ἢ ὡς ἐνεργοῦσά τι ἢ ὡς πάσχουσα. Πόσαι διαθέσεις; Τρεῖς, ἐνέργεια, πάθος, μεσότης· ἐνέργεια μέν, ὡς τύπτω, πάθος δέ, οἷον τύπτομαι, μεσότης δὲ ἡ ποτὲ μὲν ἐνέργειαν ποτὲ δὲ πάθος παριστῶσα, οἷον πέπηγα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διέφθορα ἐποιησάμην ἐγραψάμην. Ἐπειδὴ κατὰ πάντα etc. = Σ v 245, 30—246, 1; 246, 27—247, 3; 246, 7—14. 〈Heliodori.

401 〉 —Ἐνεργητικὴ μέν ἐστι διάθεσις, καθ’ ἣν ἐνεργῶν τις φαίνεται, ἥτις παρὰ τοῖς φιλοσόφοις δραστικὴ καὶ ὀρθὴ καλεῖται· δραστικὴ μὲν ἀπὸ τοῦ δρᾶν, ὀρθὴ δὲ ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν· συμβαίνει γὰρ τοὺς νικῶντας ὀρθῶς ἵστασθαι. Χρὴ δὲ εἰδέναι, ὅτι ἡ ἐνεργητικὴ διάθεσις ἢ πρὸς γενικὴν ἢ πρὸς αἰτιατικὴν ποιεῖ τὰς συντάξεις, οἷον ἄρχω σου, δεσπόζω σου, τύπτω σε, τέμνω σε· πρὸς δὲ δοτικὴν κατὰ περιποιητικὴν ἔννοιαν ποιεῖ τὴν σύνταξιν, ὡς τὸ γράφω σοι, λέγω σοι καὶ τὰ ὅμοια. Παθητικὴ δέ, καθ’ ἣν πάσχων τις φαίνεται, ἥτις παρὰ τοῖς φιλοσόφοις ὑπτία καλεῖται, καὶ αὕτη ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν· συμβαίνει γὰρ τοὺς ἡττωμένους ὑπτίους εἶναι. Χρὴ δὲ πάλιν εἰδέναι, ὅτι ἡ παθητικὴ διάθεσις ἀπὸ τῆς ἐνεργητικῆς γίνεται τῆς συναπτομένης γενικῇ ἢ αἰτιατικῇ· αὕτη γὰρ ἡ σύνταξις ἡ πρὸς γενικὴν ἢ πρὸς αἰτιατικὴν αἰτία πάντως γίνεται τῆς γενέσεως τῶν παθητικῶν, οἷον ἡ ἄρχω σου σύνταξις ποιεῖ παθητικὴν σύνταξιν μετὰ τῆς ὑπό προθέσεως τὴν ἄρχομαι ὑπὸ σοῦ, καὶ ἡ δεσπόζω σου τὴν δεσπόζομαι ὑπὸ σοῦ, καὶ ἡ τύπτω σε τὴν τύπτομαι ὑπὸ σοῦ· ἡ δὲ πρὸς δοτικὴν σύνταξις περιποιητικὴ οὖσα ἐνέργειαν μὲν σημαίνει, οὐ ποιεῖ δὲ πάθος· διὸ ἡ τέμνομαι ὑπὸ σοῦ σύνταξις οὐκ ἀπὸ τῆς τέμνω σοι, ἀλλ’ ἀπὸ τῆς τέμνω σε γίνεται, καὶ ἡ φέρομαι ὑπὸ σοῦ οὐκ ἀπὸ τῆς φέρω σοι, ἀλλ’ ἀπὸ τῆς φέρω σε τίκτεται. Μέση δὲ καλεῖται διάθεσις, ὅταν ἡ αὐτὴ φωνὴ χωρῇ εἴς τε ἐνέργειαν καὶ 〈εἰσ〉 πάθος, ὡς τὸ βιάζομαι· αὕτη γὰρ ἡ φωνὴ χωρεῖ καὶ εἰς ἐνέργειαν καὶ 〈εἰσ〉 πάθος, οἷον ἐὰν εἴπω βιάζομαί σε καὶ βιάζομαι ὑπὸ σοῦ. Ἢ πάλιν μέση ἐστὶ διάθεσις, ὅταν τῷ αὐτῷ ῥήματι τυπῶ μόνον πάθος καὶ τῷ αὐτῷ ῥήματι τυπῶ μόνον ἐνέργειαν, ὡς ὁ εἰς μην τύπος· μέσος γάρ ἐστι μόνων παθητικῶν καὶ πάλιν μόνων ἐνεργητικῶν· καὶ ἐνεργητικῶν μὲν μόνων ἐγραψάμην ἐφάμην, παθητικῶν δὲ μόνων ἐτριψάμην ἠλειψάμην· ἴσην γὰρ ἔχουσι δύναμιν κατὰ σημασίαν τῷ ἐτρίφθην καὶ ἠλείφθην παθητικῷ τύπῳ. Ἡ ποτὲ μὲν ἐνέργεια ν , ποτὲ δὲ πάθο ς.] Προστιθέναι δεῖ ἐνταῦθα τὸ «ἐν φωνῇ ἐνεργητικῇ» καὶ «ἐν φωνῇ παθητικῇ», ἵν’ ᾖ ὁ νοῦς οὕτως· «ἡ ποτὲ μὲν ἐνέργειαν ἐν φωνῇ παθητικῇ, ποτὲ δὲ πάθος ἐν φωνῇ ἐνεργητικῇ»· τὸ μὲν γὰρ πέπηγα ἐν φωνῇ ἐνεργητικῇ πάθος δηλοῖ, ἴσον γάρ ἐστι τῷ πέπηγμαι, τὸ δὲ ἐποιησάμην ἐν φωνῇ παθητικῇ ἐνέργειαν σημαίνει, ἴσον γάρ ἐστι τῷ ἐποίησα. Εἴδη δύ ο , πρωτότυπον καὶ παράγωγο ν.] Φασί τινες ψευδῶς παρέπεσθαι τὰ εἴδη τοῖς ῥήμασιν· εἰ γὰρ τὰ ἐν ὀνόμασιν εἴδη διάφορον ποιεῖ τὸ σημαινόμενον, καθὸ ἄλλο ἐστὶ τὸ λίθος καὶ ἄλλο τὸ λίθινος, ἐν δὲ ῥήμασι τὸ αὐτὸ σημαίνει, καθὸ οὐδὲν διαφέρει τὸ ἄρδω τοῦ ἀρδεύω, περισσὸν τὸ καὶ εἴδη παραλαμβάνειν ἐν ῥήμασιν.

402 Πρὸς οὕς φαμεν, ὡς οὐκ ἀτόπως τὰ εἴδη παρέπεται τοῖς ῥήμασιν, ἀλλὰ καὶ μᾶλλον εὐλόγως, ἐπειδὴ ἔστιν ὅτε ἡ σημασία τοῦ παραγώγου ἐκ τοῦ πρωτοτύπου κατορθοῦται. Ἔτι φασί τινες τοῖς ῥήμασι μὴ δεῖν εἶδος παρεπόμενον διδόναι, εἴ τι παράγωγον οὐ κατὰ μόνην φωνὴν διαφέρει τοῦ πρωτοτύπου, ἀλλὰ καὶ κατὰ σημασίαν· τὰ δὲ παράγωγα ῥήματα ὁμόσημα, ἀθλῶ ἀθλεύω, ἄρδω ἀρδεύω, καὶ πάντα τὰ εἰς μι . Πρὸς δὲ τούτους ἔστιν εἰπεῖν, ὅτι πρῶτον μὲν 〈οὐ〉 πᾶν παράγωγον ῥῆμα ἀπὸ ῥήματος παράγεται πρωτοτύπου, 〈ἀλλ’ ἔστιν ὅτε〉 καὶ ἀπὸ ὀνόματος, οἷον λίθος λιθάζω, χρυσός χρυσῶ· καὶ ἀπὸ ἐπιρρήματος γὰρ παράγωγα, λίαν λιάζω καὶ αἴ αἵ αἰάζω, οἴ οἴ οἴζω οἰζύω οἰζύσω οἰζύς, ἡ στεναγμῶν ἐμποιητικὴ ταλαιπωρία· ἀπὸ ἀντωνυμίας οὐ παράγεται, μόνον τὸ σφετερίζομαι ἀπὸ τοῦ σφέτερος, ἀλλὰ παρὰ τοῖς νεωτέροις ποιηταῖς ἀντὶ τοῦ ἴδιος ἐστίν, οἷον 〈Hes. Opp. 2〉 σφέτερον πατέρ’ ὑμνείουσαι, ὡς ἀπὸ ὀνόματος οὖν ἡ παραγωγή· οὐδὲ ἀπὸ μετοχῆς, μόνον τὸ ἀσμενίζω ὡς ἀπὸ τοῦ ἄσμενος, ἀλλὰ τοῦ ἄσμενος ἐμαυρώθη ὁ τόνος, ὁ χρόνος, τὸ πνεῦμα, ἥδω ἧσμαι ἡσμένος ἄσμενος· ἄλλως τε καὶ ἀπὸ ῥημάτων ῥήματα παράγονται οὐ πάντως ὁμόσημα, ὄψω ὀψείω. Ἰστέον δὲ ὅτι πολλὴ ἡ ποικιλία ἡ ἐν ταῖς παραγωγαῖς τῶν ῥημάτων. Σχήματα τρί α , ἁπλοῦ ν , σύνθετο ν ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρασύνθετον · ἁπλοῦν μέ ν , οἷον φρον ῶ , σύνθετον δ έ , οἷον καταφρον ῶ , παρασύνθετον δ έ , οἷον ἀντιγονίζω φιλιππίζ ω , τουτέστι τὰ τοῦ Φιλίππου φρον ῶ.] Τὸ καταφρονῶ etc. = eadem fere quae Σ v 247, 19—26. Παρασύνθετον, οἷον ἀντιγονίζω· τὸ ἀντιγονίζω παρασύνθετόν ἐστιν, τὸ γὰρ σύνθετον Ἀντίγονος ἐστίν, ἀφ’ οὗ γέγονε τὸ παρασύνθετον ἀντιγονίζω. Ἀριθμοὶ τρεῖ ς , ἑνικό ς , δυϊκό ς , πληθυντικός · ἑνικὸς μέ ν , οἷον τύπτ ω , δυϊκὸς δ έ , οἷον τύπτετο ν , πληθυντικὸς δ έ , οἷον τύπτομε ν.] Περὶ ἀριθμῶν προειρήκαμεν ἐν τῷ ὀνόματι. 〈Heliodori.〉 — Πρόσωπα τρί α , πρῶτο ν , δεύτερον καὶ τρίτο ν.] Τρία πρόσωπα εἶναι λέγει· ὃν τρόπον γὰρ περὶ τῶν γενῶν τρία εἶπε ταῦτα εἶναι, ἀνάγκη καὶ τρία πρόσωπα εἶναι, τοῦ λέγοντος καὶ προσακούοντος καὶ μνημονευομένου. Καὶ πρῶτον μέν ἐστι πρόσωπον τὸ περὶ ἑαυτοῦ ἀποφαινόμενον, προσυπακουομένης τῆς ἐγώ ἀντωνυμίας 〈καὶ αὐτῆς πρώτου προσώπου οὔσης, οἷον λέγω ἐγώ〉 · δεύτερον δέ ἐστι πρόσωπον τὸ πρός τινα λέγον περὶ αὐτοῦ, προσυπακουομένης τῆς σύ ἀντωνυμίας καὶ αὐτῆς δευτέρου προσώπου οὔσης, οἷον λέγεις σύ· καὶ τρίτον πρόσωπόν ἐστι τὸ περὶ ἄλλου ἀποφαινόμενον, προσυπακουομένης τῆς ἐκεῖνος ἀντωνυμίας καὶ αὐτῆς τρίτου προσώπου οὔσης, οἷον ἐκεῖνος λέγει.

403 Τὸ πρόσωπον οὐκ ἔστιν ἴδιον ῥήματος etc. = Σ v 247, 32—248, 4. Πρόσωπον μὲν οὖν ἐστιν ὅπερ διὰ τῶν οἰκείων αὐτοῦ ἐνεργημάτων τε καὶ ἰδιωμάτων ἀρίδηλον καὶ περιωρισμένην τῶν ὁμοφυῶν αὐτοῦ παρέχεται τὴν ἔμφασιν, τουτέστι τὴν ἐμφάνειαν. Ἄλλως· ἴδιον ἀντωνυμίας καὶ ῥήματος, ὅπερ ἐν τρισὶ προσώποις παρέχεται τὴν ἐμφάνειαν. Ἄλλως· ἴδιον ἀντωνυμίας καὶ ῥήματος, ὅπερ ἐν τρισὶ προσώποις θεωρεῖται. Χρόνοι τρεῖ ς , ἐνεστώ ς , παρεληλυθώ ς , μέλλω ν.] Χρόνος τοίνυν ἐστὶ etc. = Σ v 248, 28—249, 3. Ἄλλως· πλατυκὸς [ἐνιαυτὸς] ἢ ἀκαριαῖος, ἅμα γὰρ τῷ λέγεσθαι ἔχει καὶ τὸ εἶναι· ἢ μέτρον κινήσεως ἡλίου ἢ σελήνης ἐπιμεριζόμενον ταῖς τοῦ ῥήματος κλίσεσι· πλατυκὸς εἴρηται ὁ ἐν πλάτει ὢν καὶ μακρός, ἀκαριαῖος ὁ πάνυ βραχύς. — Πόθεν χρόνος; Ἀπὸ τοῦ ῥέω ῥόνος καὶ προσθέσει τοῦ χ χρόνος· ἢ ἀπὸ τοῦ χέειν καὶ ῥέειν καὶ νάειν, ἐκ τριῶν ταὐτοσημάντων λέξεων. Οἱ φιλόσοφοι δύο etc. = idem fere quod Σ v 249, 4—6 et addita voce ἄλλως iterum Σ v 249, 4—8: ἰστέον δὲ ὅτι ὁ μὲν ἐνεστὼς κατὰ μίαν δύναμιν νοεῖται, οἷον τύπτω τύπτομαι, παιδεύω παιδεύομαι. Ἀνάγκη τοίνυν ἐστὶ etc. = Σ v 248, 13—27. Τούτων ὁ παρεληλυθὼς εἰς τέσσαρας τέμνετα ι , εἰς παρατατικό ν , παρακείμενο ν , ὑπερσυντέλικον καὶ ἀόριστο ν.] — 〈Heliodori.〉 —Φησὶν ὅτι ὁ παρῳχημένος χρόνος εἰς τέσσαρα τέμνεται, εἰς παρατατικόν, παρακείμενον, ὑπερσυντέλικον, ἀόριστον. Καὶ εἴ τις ζητοίη, διὰ τί μὴ ὁ ἐνεστὼς καὶ ὁ μέλλων ἔσχε τομήν, ἀλλὰ μόνος ὁ παρῳχημένος, γινωσκέτω ὅτι ὁ μὲν ἐνεστὼς παρὰ τοῖς φιλοσόφοις ἐκινδύνευε μηδὲ σύστασιν ἔχειν διὰ τὸ ἀεικίνητον τοῦ ἡλίου, οὗ κατὰ φορὰν οἱ χρόνοι ἀποτελοῦνται· πῶς οὖν ὁ μὴ μένων μηδὲ ἱστάμενος τομὴν ἐδέχετο; ὁ δὲ μέλλων ἄδηλος ἦν, καὶ πῶς ἐτέμνετο τὸ μήπω φανερόν; μόνος οὖν ὁ παρῳχημένος ἐν γνώσει ἦν, καὶ ἅτε δὴ ἐν γνώσει ὑπάρχων εἰκότως καὶ τομὴν ἀνεδέξατο. Καὶ πάλιν εἴ τις ζητοίη, διὰ τί κατὰ τὴν τῆς φύσεως τάξιν οὐ πρῶτος τέθειται ὁ παρῳχημένος, ἐπεὶ τὰ παρελθόντα τῷ χρόνῳ πρότερά ἐστι τῶν παρόντων, ἴστω ὅτι διὰ τοῦτο προετάγη ὁ ἐνεστώς, διότι ὁ ἐνεστώς ἐστι τὸ θέμα τοῦ ῥήματος, καὶ ὅτι εἰ μὴ πρῶτος ὁ ἐνεστὼς ἐγένετο, οὐκ ἂν παρῆλθε καὶ ἐγένετο παρῳχημένος. Ἡ δὲ ὀνομασία τῶν χρόνων ἀπὸ σημασίας ἐγένετο· ἐνεστὼς μὲν γὰρ ἀπὸ τοῦ ἐνεστηκέναι καὶ παρεῖναι ὠνομάσθη, οἷον ποιῶ γράφω, παρατατικὸς δὲ ἀπὸ τοῦ παράτασιν ἔχειν πολλὴν ὡς ἐκ πολλοῦ γινομένην καὶ οὔπω τετελεσμένην, καὶ παρακείμενος, ὃς καὶ ἐνεστὼς συντελικὸς καλεῖται, ὡς παρακειμένην καὶ ἐνεστῶσαν τὴν συντέλειαν ἔχων τοῦ πράγματος, καὶ ὑπερσυντέλικος ἀπὸ τοῦ ἐκ πολλοῦ συντετελεσμένον ἔχειν τὸ πρᾶγμα, 〈καὶ〉 ἀόριστος ἀπὸ τοῦ μὴ ὁρίζειν πότε τετελεσμένον ἔσχε τὸ πρᾶγμα, ὅθεν καὶ συνίσταται 〈αὐτῷ〉 τὸ ἄρτι καὶ τὸ πάλαι, καὶ μέλλων ἀπὸ τοῦ πρᾶγμα μέλλειν γενέσθαι.

404

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πάλιν δὲ ἄξιόν ἐστι ζητῆσαι etc. = iterum Σ v 249, 27—32. Ὧν συγγένειαι τρεῖ ς , ἐνεστῶτος πρὸς παρατατικό ν , παρακειμένου πρὸς ὑπερσυντέλικο ν , ἀορίστου πρὸς μέλλοντ α.] — 〈Heliodori.〉 —Χρὴ γινώσκειν, ὅτι διὰ τῶν φωνῶν μᾶλλον καταλαμβάνονται αἱ συγγένειαι ἤπερ 〈διὰ〉 τῶν σημαινομένων· λέγομεν γὰρ συγγενῆ εἶναι τὸν ἐνεστῶτα τῷ παρατατικῷ, καθὸ τὸ τύπτω καὶ ἔτυπτον διὰ τοῦ πτ ἐκφέρεται [κατὰ τὴν φωνήν], καὶ τὸ τέτυφα τῷ ἐτετύφειν ὁμοίως συγγενές, καὶ τὸ ἔτυψα τῷ τύψω, ἐπειδὴ διὰ τῶν αὐτῶν ἐξενήνεκται συμφώνων. Ἀναγκαῖον δὲ κἀκεῖνο ἐπισημήνασθαι, ὅτι τὰ πλείω τῶν ἀντιγράφων οὕτως ἔχει· «ὧν συγγένειαι τρεῖς, ἐνεστὼς πρὸς παρατατικόν, παρακείμενος πρὸς ὑπερσυντέλικον, ἀόριστος πρὸς μέλλοντα»· τοῦτο δὲ σολοικισμός ἐστι προφανής· διόπερ γραπτέον οὕτως· «ἐνεστῶτος πρὸς παρατατικόν, παρακειμένου πρὸς ὑπερσυντέλικον, ἀορίστου πρὸς μέλλοντα». Τί ἐστιν ἐνεστὼς χρόνος; Ὁ ἐνισταμένην καὶ ἀπλήρωτον ἔχων τὴν σημασίαν, οἷον τύπτω. Διὰ τί προτέτακται ὁ ἐνεστὼς τῶν λοιπῶν χρόνων; Διότι θέμα ἐστὶ τοῦ ῥήματος. Πόσαι διαφοραὶ τοῦ ἐνεστῶτος χρόνου; Οὐκ ἔχει. Διὰ τί; Διότι ἀκαριαῖός ἐστιν ἤτοι πάνυ βραχύς, ὡς προείρηται· ἅμα γὰρ τῷ λέγεσθαι ἔχει καὶ τὸ εἶναι· καὶ διὰ τοῦτο οὐκ ἐπιδέχεται διαίρεσιν. —Τί ἐστι παρατατικός; Ὁ παρατεταμένην καὶ ἀπλήρωτον ἔχων τὴν σημασίαν, οἷον ἔτυπτον, τουτέστιν ὁ δηλῶν ἀπλήρωτον ἐνεργείας παράτασιν. —Ἰστέον οὖν, ὅτι μέσος ἐνεστὼς ἢ μέσος παρατατικὸς οὐδαμοῦ ἐστι, διὰ 〈τὸ〉 τοὺς παθητικοὺς ἐνεστῶτας καὶ παρατατικοὺς καὶ ἀντὶ μέσων 〈παρα〉 λαμβάνεσθαί ποτε· οἱ γὰρ ἐνεστῶτες καὶ οἱ παρατατικοὶ τῆς παθητικῆς διαθέσεως ποτὲ μὲν ἀντὶ ἐνεργείας, ποτὲ δὲ ἀντὶ πάθους ἐκφωνοῦνται· ἐὰν οὖν λέγῃς [«σχολάζομαί σε» καὶ] «ἄγομαί σε» καὶ «φέρομαί σε», ἐνέργειαν δηλοῖ τὸ τοιοῦτον ῥῆμα διὰ τὸ σέ, ὡς γὰρ τὸ «ἄγω σε» καὶ «φέρω σε» λαμβάνεται· ἐὰν δὲ λεχθῇ «ἄγομαι ὑπὸ σοῦ», «φέρομαι ὑπὸ σοῦ», πάθος δηλοῖ τὸ ῥῆμα, μὴ τῆς γραφῆς ἀλλὰ τῆς διανοίας ἀλλοιουμένης. Διὰ τοῦτο γὰρ καὶ μεσότης εἴρηται, ὅτι ἐν τῷ μέσῳ μένει τῶν δύο διαθέσεων, ἐνεργείας καὶ πάθους. —Τί ἐστι παρεληλυθώς; Ὁ ἤδη παρελθών. Διὰ τί τέσσαρες διαφοραὶ τοῦ παρεληλυθότος; Διότι τὰ παρελθόντα ἢ παράτασιν ἔχουσιν ἐκ πολλοῦ γινομένην καὶ οὔπω πεπλήρωνται, καὶ ἀποτελοῦσι τὸν παρατατικὸν δηλοῦντα τῆς ἐνεργείας τὴν παράτασιν· ἢ ἀρτίως συνετελέσθησαν καὶ ἐνιστάμενα πράγματά εἰσιν, ἅτινα καὶ ἀποτελοῦσι τὸν παρακείμενον· ἢ πρὸ πολλοῦ παρῆλθον τὰ παρελθόντα, καὶ ἀποτελοῦσι τὸν ὑπερσυντέλικον τὸν πρὸ τοῦ παρακειμένου συντελεσθέντα· ἢ ἀδήλως ἐτελέσθησαν 〈ἢ πρὸ ὀλίγου〉 ἢ πρὸ πολλοῦ, καὶ ἀποτελοῦσι τὸν ἀόριστον.

Ἰστέον 〈δὲ〉 ὅτι ὁ μὲν παρακείμενος σύμφυτον ἔχει ἐν ἑαυτῷ τὸ ἄρτι, 〈ὁ δὲ ὑπερσυντέλικος σύμφυτον ἔχει ἐν ἑαυτῷ τὸ πάλαι· ὁ δὲ ἀόριστος εἰ μὲν προσλάβοι τὸ ἄρτι,〉 ἰσοδυναμεῖ τῷ παρακειμένῳ, τὸ γὰρ ἔτυψα ἄρτι ταὐτόν ἐστι τῷ τέτυφα, εἰ δὲ προσλάβοι τὸ πάλαι, τῷ ὑπερσυντελίκῳ, τὸ γὰρ ἔτυψα πάλαι ταὐτόν ἐστι τῷ ἐτετύφειν. —Τί ἐστι παρακείμενος; Ὁ παρακειμένην καὶ πρόσφατον ἔχων τὴν σημασίαν, ἤγουν ὁ μικρῷ πρόσθεν τοῦ ἐνεστῶτος παρακείμενος ὡς ἐνεργῶν ἢ πάσχων, οἷον τέτυφα. Πόθεν εἴρηται παρακείμενος; Ἀπὸ τοῦ παρακεῖσθαι αὐτῷ ἐγγὺς τὴν τοῦ ἔργου συμπλήρωσιν. —Τί ἐστιν ὑπερσυντέλικος; Ὁ πρὸ πολλοῦ πληρωθείς, ἤγουν πρὸ τοῦ παρακειμένου συντελεσθείς, οἷον ἐτετύφειν. Τί ἐστι συντελικός; Τουτέστι πεπληρωμένος. —Τί ἐστιν ἀόριστος; Ὁ ἀόριστον καὶ ἄδηλον ἔχων τὴν σημασίαν, οἷον ἔτυψα. Καὶ ἄλλως· ὁ μὴ δηλῶν καιρὸν ὡρισμένον μηδὲ παράτασιν ἐνεργείας, ἀλλὰ τὴν εἰσάπαξ ποτὲ ἐνέργειαν ἢ τὸ πάθος, οἷον ἔτυψα ἔτυπον ἐνεργητικῶς, ἐτύφθην ἐτύπην παθητικῶς. —Τί ἐστι μέλλων; Ὁ μήπω γεγονώς, ἀλλὰ μετὰ τὸν ἐνεστῶτα ἐρχόμενος. Πόσαι διαφοραὶ τοῦ μέλλοντος; Οὐκ ἔχει. Διὰ τί; Διότι τὸ μέλλον ἄδηλόν ἐστι καὶ ἀγνοούμενον καὶ διὰ τοῦτο οὐδὲ διαίρεσιν ἐπιδέχεται· οἱ δὲ Ἀθηναῖοι διεῖλον 〈αὐτὸν εἰς μέλλοντα〉 καὶ εἰς μετ’ ὀλίγον μέλλοντα. Διὰ τί ὁ ἐνεστὼς πρὸς παρατατικὸν ἔχει τὴν συγγένειαν; Ἐπειδὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρατεταμένην καὶ ἀπλήρωτον ἔχουσιν ἀμφότεροι τὴν σημασίαν, οἷον τύπτω ἔτυπτον· ὥσπερ γὰρ ὁ ἐνεστὼς ἀπλήρωτός ἐστιν, ἐνισταμένην γὰρ καὶ ἀπλήρωτον ἔχει τὴν σημασίαν, οὕτω καὶ ὁ παρατατικὸς ἀπλήρωτός ἐστι, καὶ ⟨γὰρ⟩ παρατεταμένην καὶ αὐτὸς καὶ ἀπλήρωτον ἔχει τὴν σημασίαν. —Διὰ τί ὁ παρακείμενος πρὸς ὑπερσυντέλικον ἔχει τὴν συγγένειαν; Ἐπειδὴ ἄμφω πεπληρωμένοι εἰσίν, ὡς τέτυφα ἐτετύφειν· ὥσπερ γὰρ τῷ παρακειμένῳ ἐγγὺς ἡ σημασία, οὕτω καὶ τῷ ὑπερσυντελίκῳ. —Διὰ τί ὁ ἀόριστος πρὸς μέλλοντα τὴν συγγένειαν ἔχει; Ἐπειδὴ ἀδήλους ἔχουσι τοὺς χρόνους ἀμφότεροι, οἷον τύψω ἔτυψα· ἀμφότεροι γὰρ ἀόριστόν τι δηλοῦσι καὶ ἄδηλον, ἀόριστον γὰρ καὶ ἄδηλον τὸ ποτέ, ἄδηλον ⟨δὲ⟩ καὶ τὸ μέλλον. —Ἀλλὰ μὴν οὐ μόνον κατὰ ⟨τὴν⟩ σημασίαν καταλαμβάνονται τούτων αἱ συγγένειαι, ἀλλὰ καὶ κατὰ τὴν φωνήν· τὰ γὰρ αὐτὰ σύμφωνα ἔχει ὁ ἐνεστὼς τῷ παρατατικῷ, ὡς τύπτω ἔτυπτον, ὁμοίως καὶ ὁ παρακείμενος τῷ ὑπερσυντελίκῳ, τέτυφα ἐτετύφειν, καὶ ὁ ἀόριστος τῷ μέλλοντι, ἔτυψα τύψω. —Διὰ τί εἰσι τρεῖς συγγένειαι τῶν χρόνων; Διότι καὶ τῶν πτώσεων τοῦ ὀνόματος τρεῖς εἰσι συγγένειαι, εὐθείας πρὸς αἰτιατικήν, γενικῆς πρὸς δοτικήν, καὶ κλητικῆς πρὸς εὐθεῖαν ἢ αἰτιατικήν. —Ἐν ποίαις τῶν ἐγκλίσεων κοινωνοῦσι καὶ ἐν ποίαις διαφέρουσι; Διαφέρουσι μὲν ἐν τῇ ὁριστικῇ, κοινωνοῦσι δὲ ἐν ταῖς ἄλλαις, πλὴν ὁ μέλλων καὶ ὁ ἀόριστος κἀν ταῖς ἄλλαις διαφέρουσι πλὴν τινῶν. —Διὰ τί οὐ ⟨δια⟩λαμβάνει μετὰ τὴν ἐνεργητικὴν διάθεσιν περὶ τῆς μέσης, καὶ οὕτω περὶ ⟨τῆσ⟩ παθητικῆς; Ἐπειδὴ τὴν μέσην διάθεσιν οὐχ εὗρε καθόλου τῇ λέξει διαλλάττουσαν, ἀλλὰ τὴν αὐτὴν οὖσαν τοῖς παθητικοῖς ἐνεστῶσι καὶ παρατατικοῖς, ὡς καὶ πρόσθεν εἴρηται. Ἰστέον δὲ ὅτι τὴν μέσην διάθεσιν διεμερίσατο ὁ τεχνικός, καὶ παρακειμένους μὲν καὶ ὑπερσυντελίκους τῆς μέσης τῇ ἐνεργητικῇ διαθέσει προσήρμοσεν, ἀορίστους δὲ καὶ μέλλοντας τῇ παθητικῇ· ἐνεστῶτας δὲ καὶ παρατατικοὺς τῆς μέσης ἀμνημονεύτους εἴασαν, ἐπειδὴ οἱ αὐτοί εἰσιν [ὅμοιοι] τοῖς ἐνεστῶσι καὶ παρατατικοῖς τῶν παθητικῶν· τὸ γὰρ γράφομαι καὶ τὸ κατηγοροῦμαι καὶ τὰ ὅμοια τῆς μέσης ἐστι διαθέσεως, καθὰ καὶ ἄνωθεν εἴπομεν πλατύτερον. § 14 (16.

406 (1t) 17. 18b). Περὶ συζυγίας. ⟨Heliodori.⟩ —Ἰστέον ὅτι ὅπερ ἐστὶν ἐν τοῖς ὀνόμασιν ὁ χαρακτήρ, τοῦτο ἐν τοῖς ῥήμασιν ἡ συζυγία, ἥτις ἐστὶ κανὼν καὶ ἀναλογία τῆς κλίσεως αὐτῶν. Εἴρηται δὲ μεταφορικῶς συζυγία ἀπὸ μεταφορᾶς τῶν ὑποζυγίων καὶ τῶν τετραπόδων ζῴων, ἃ ὑπὸ τὸν αὐτὸν ὄντα ζυγὸν ἴσον δρόμον ποιεῖται, ὡς καὶ τούτων ὅσα ὑπὸ τὴν αὐτὴν ἀνάγεται συζυγίαν μίαν ποιεῖται κλίσιν· καὶ ὥσπερ ἐπ' ἐκείνων συζυγία καλεῖται ἡ συνεζευγμένη καὶ ὑπὸ ἕνα ζυγὸν οὖσα ξυνωρὶς τῶν ζῴων, οὕτω καὶ ἐπὶ τούτων συζυγία προσηγόρευται ἡ συνεζευγμένη καὶ οἷον ὑπὸ ἕνα ζυγὸν οὖσα κλίσις τῶν ῥημάτων. Καὶ τοῦτο δύναται ἐν ῥήμασιν ἡ αὐτὴ συζυγία, ὃ δύναται χαρακτὴρ ἐν ὀνόμασι· διαφόρους γὰρ φωνὰς ὑπὸ μίαν κίνησιν ἄγει, ὥσπερ καὶ οἱ χαρακτῆρες τῶν ὀνομάτων· ὡς γάρ φαμεν ἐν ὀνόμασι· «τὰ εἰς ος ἀρσενικὰ τοιῶσδε κλίνομεν, καὶ τὰ εἰς ης σπονδειακὰ τοιῶσδε», οὕτω καὶ ἐν ῥήμασι λέγομεν· «ὅσα διὰ τοῦ β π φ ἐκφέρεται ῥήματα κατὰ τὸ θέμα, τοιῶσδε κλίνομεν», καὶ τὰ ἑξῆς ὁμοίως. Συζυγία ἐστὶν ἀκόλουθος ῥημάτων κλίσις μετὰ ἰδίας ἀκολουθίας φαινομένης ἀπ' ἀρχῆς τοῦ θεματικοῦ ἐνεστῶτος. Τί ἐστιν ἀκόλουθος ῥημάτων κλίσις; Ἡ κατὰ ἀναλογίαν καὶ κανόνα γινομένη κλίσις τῶν ῥημάτων· τὰ γὰρ διὰ τοῦ β ἢ π ἢ φ ἐκφερόμενα κατὰ τὸ θέμα ῥήματα ἀκολούθως καὶ κατὰ ἀναλογίαν κλίνονται· τὰ διὰ τοῦ πτ ἐκφερόμενα ῥήματα ὡσαύτως. Καὶ ἐπὶ τῶν λοιπῶν συζυγιῶν ἀκολούθως καὶ κατὰ ἀναλογίαν ἀλλήλων κλίνονται τὰ ῥήματα ἐν τῇ αὐτῇ καὶ μιᾷ συζυγίᾳ· ὅσα γὰρ θέματα ὑπὸ τὴν αὐτὴν καὶ μίαν ἀνάγονται συζυγίαν, καὶ τὴν αὐτὴν ποιεῖται κλίσιν τῶν ῥημάτων. —Ἄλλως. Τί ἐστι συζυγία; Τάξις συμφώνων ἐν τῷ πρώτῳ τοῦ θέματος προσώπῳ κανονιζομένη, ἢ ἐν τῷ δευτέρῳ, ὡς ἐπὶ τῶν περισπωμένων. ⟨Heliodori.⟩ —Διὰ τοῦτο δὲ συζυγία λέγεται, ὅτι ἑκάστη συζυγία διὰ συμφώνων συνέζευκται ἀλλήλοις. Τὴν ἕκτην συζυγίαν καταχρηστικῶς εἴρηκεν· οὐ γὰρ συνέζευκται ταύτῃ ἄλλα σύμφωνα διάφορα, ὡς ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταῖς ἄλλαις συζυγίαις, ἀλλὰ μόνον ἐστὶ τὸ ω καθαρόν, καὶ οὐδενὸς αὐτῷ παραλήγοντος συμφώνου· ὥσπερ οὖν καὶ καταχρηστικῶς ἐστι συλλαβὴ ἡ δι’ ἑνὸς φωνήεντος, οὕτω καὶ συζυγία καταχρηστικῶς εἴρηται ἡ δι’ ἑνὸς φωνήεντος. Κέκληται δὲ συζυγία ἐκ μεταφορᾶς, ὡς εἴρηται, τῶν ὑποζυγίων· ὃν τρόπον γὰρ τὰ κτήνη τὰ ὑπὸ τὸν ζυγὸν ὄντα τὸν αὐτὸν συντρέχει ἀλλήλοις καὶ μίαν τὴν πορείαν ποιεῖται, τὸν αὐτὸν τρόπον καὶ ἡ συζυγία πολλὰ ῥήματα εἰς ἑαυτὴν ζευγνύει.

407 Μηδεὶς δὲ οἰέσθω ἴδιον μέρος λόγου εἶναι τὴν συζυγίαν· αὕτη γάρ ἐστιν ἓν τῶν παρεπομένων τῷ ῥήματι· ἰδίως δὲ τέτακται ἅτε πολυσχιδὴς τυγχάνουσα καὶ πολλῆς τεχνολογίας δεομένη. Ὁριζόμενος δὲ τὴν συζυγίαν ὁ τεχνικὸς ἔφη εἶναι ἀκόλουθον ῥημάτων κλίσιν, εὐλόγως· εἰ γὰρ συζυγεῖ ἀλλήλοις τὰ ῥήματα, πάντως μίαν καὶ ἀκόλουθον ἀλλήλοις κίνησιν ποιεῖται. Τί δέ ἐστιν ἀκόλουθος ῥημάτων κλίσις; Τὸ ἰδίᾳ ἑκάστην συζυγίαν ἀκολούθως ἑαυτῇ καὶ συμφώνως κλίνεσθαι. Εἰσὶ δὲ συζυγίαι τῶν βαρυτόνων μὲν ῥημάτων ἕ ξ.] Εἰσὶ δὲ πᾶσαι αἱ συζυγίαι δεκατρεῖς, ἓξ τῶν βαρυτόνων, τῶν περισπωμένων τρεῖς, καὶ τῶν εἰς μι τέσσαρες· τὰ βαρύτονα δὲ πρῶτον θετέον, ἐπεὶ τὰ περισπώμενα ἐξ αὐτῶν καὶ τὰ εἰς μι . Ἡ πρώτη συζυγία τῶν βαρυτόνων ῥημάτων διὰ τίνος ἐκφέρεται; Διὰ τοῦ β ἢ π ἢ φ ἢ πτ , οἷον λείβω τέρπω γράφω κόπτω. Ἡ πρώτη διὰ τοῦ πρώτου συμφώνου τοῦ β μέσου καὶ τῶν συγγενῶν, τοῦ π ψιλοῦ καὶ τοῦ φ δασέος· ὁ μέλλων διὰ τοῦ ψ , ἐπεὶ καὶ τὰ εἰς ψ λήγοντα ὀνόματα διὰ τοῦ β π φ κλίνεται, οἷον λίψ λιβός, κλώψ κλωπός, Κίνυψ Κίνυφος. Καὶ διὰ τί ἡ πρώτη διὰ τοῦ β ; Ἐπειδὴ πρῶτόν ἐστι σύμφωνον, καὶ διὰ τοῦτο προσέλαβεν αὐτὸ ἡ πρώτη συζυγία τῶν βαρυτόνων. Διὰ τί διὰ τοῦ π ἢ φ ; Διότι συγγενῆ εἰσι τοῦ β 〈ὡς μέσου ὄντος αὐτῶν〉 , καὶ ὅτι ἀντίστοιχα ἀλλήλοις εἰσί· λέγει γὰρ ὁ τεχνικός 〈p. 13, 3 Uhl〉 «ἀντιστοιχεῖ τὰ δασέα τοῖς ψιλοῖς, τῷ μὲν π τὸ φ , οἷον 〈ι 279〉 ἀλλά μοι εἴ φ ’ ὅπῃ ἔσχες ἰὼν εὐεργέα νῆ α» . Διὰ τί διὰ τοῦ π τ ; Διότι τοῦ π ἐστὶν ἡ συζυγία · πλεονάζει δὲ τὸ τ , ὡς ἐν τῇ γενικῇ πολλάκις τοῦ ὀνόματο ς , οἷον ἄνακος ἄνακτο ς , γάλακος γάλακτο ς , νυκός νυκτός · ἀναλογεῖ γὰρ ὁ ἐνεστὼς τῇ γενικ ῇ , ὁ δὲ μέλλων τῇ εὐθεί ᾳ . Καὶ διὰ τί μετὰ τοῦ π ἐστὶ τὸ τ ἐν τῇ πρώτῃ συζυγίᾳ καὶ μετὰ τοῦ κ ἐν τῇ δευτέρ ᾳ ; Ἐπειδὴ ὁμοίως τῷ π 〈καὶ τῷ κ 〉 ψιλόν ἐστι · κανὼν γάρ ἐστιν ὁ λέγω ν , ὅτι ψιλὰ ψιλῶν ἡγεῖται καὶ δασέα δασέων καὶ μέσα μέσων κατὰ σύλληψι ν , οἷον κτύπος πτῶσις φθόνος χθών ἐρίγδουπο ς . Διὰ τί ὁ μέλλων τῆς πρώτης συζυγίας τῶν βαρυτόνων διὰ τοῦ ψ ἐκφέρετα ι ; Διότι τὰ εἰς ψ λήγοντα ὀνόματ α , ὃ προεγράφ η . Ἡ δευτέρα συζυγία τῶν βαρυτόνων διὰ τίνος ἐκφέρετα ι ; Διὰ τοῦ γ ἢ κ ἢ χ ἢ κ τ , οἷον λέγω πλέκω τρέχω τίκτ ω . Διὰ τί διὰ τοῦ γ ; Διότι δεύτερόν ἐστι σύμφωνο ν , καὶ διὰ τοῦτο προσέλαβεν αὐτὸ ἡ δευτέρα συζυγία τῶν βαρυτόνω ν . Καὶ διὰ τί διὰ τοῦ κ ἢ χ ; Διότι συγγενῆ εἰσι τοῦ γ ὡς μέσου ὄντος 〈αὐτῶν 〉 , καὶ ὅτι ἀντίστοιχα ἀλλήλοις εἰσί · λέγει γὰρ ὁ τεχνικός 〈 p . 1 3 , 3 Uhl〉 « ἀντιστοιχεῖ τὰ δασέα τοῖς ψιλοῖ ς , τῷ μὲν κ τὸ χ , ὡς ἐν τῷ 〈ε 229〉 αὐτί χ ’ ὁ μὲν χλαῖνάν τε χιτῶνά τ 〈ε〉 ἕν 〈ν〉 υ τ ’ Ὀδυσσεύ ς. Καὶ διὰ τί διὰ τοῦ κτ ; Διότι τοῦ κ ἐστὶν ἡ συζυγία· πλεονάζει δὲ τὸ τ δι’ εὐφωνίαν. Καὶ διὰ τί ὁ μέλλων τῆς δευτέρας συζυγίας διὰ τοῦ ξ ἐκφέρεται; Διότι καὶ τὰ εἰς ξ περατούμενα ὀνόματα διὰ τοῦ γ ἢ κ ἢ χ κλίνεται, ὄρτυξ ὄρτυγος, κῆρυξ κήρυκος, ὄνυξ ὄνυχος. Ἡ τρίτη συζυγία τῶν βαρυτόνων διὰ τίνος ἐκφέρεται; Διὰ τοῦ δ ἢ θ ἢ τ , οἷον ᾄδω πλήθω ἀνύτω.

408 —Διὰ τί διὰ τοῦ δ ; Διότι τρίτον σύμφωνόν ἐστι [καὶ μέσον τούτων, τοῦ τε θ καὶ τ ], καὶ διὰ τοῦτο προσέλαβεν αὐτὸ ἡ τρίτη συζυγία τῶν βαρυτόνων. Καὶ διὰ τί διὰ τοῦ θ ἢ τ ; Διότι συγγενῆ εἰσι τοῦ δ ὡς μέσου ὄντος αὐτῶν, καὶ ὅτι ἀντίστοιχα ἀλλήλοις εἰσί· λέγει γὰρ ὁ τεχνικός 〈p. 13, 3 Uhl〉 «ἀντιστοιχεῖ τὰ δασέα τοῖς ψιλοῖς, τὸ μὲν θ τῷ τ , [οὕτως] ὡς ἐν τῷ 〈Γ 95〉 ὣς ἔφα θ’ , οἱ δ ’ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπ ῇ» · πολλάκις δὲ καὶ εἰς δύο δασέ α , ὡς τὸ 〈Δ 243〉 τίφ θ ’ οὕτως ἔστητ ε; Διὰ τί ὁ μέλλων τῆς τρίτης συζυγίας τῶν βαρυτόνων διὰ

τοῦ ς ἐκφέρεται; Διότι καὶ τὰ εἰς ς λήγοντα ὀνόματα διὰ τοῦ δ ἢ θ ἢ τ κλίνεται, οἷον Πάρις Πάριδος, χάρις χάριτος, ὄρνις ὄρνιθος. Ἡ δὲ τετάρτη διὰ τοῦ ζ ἢ τῶν δύο σς . Περὶ ταύτης ἐροῦμεν ἐν καιρῷ. Ἡ δὲ πέμπτη διὰ τῶν τεσσάρων ἀμεταβόλων ἐκφέρεται, περὶ ἧς ὁ λόγος προϊὼν διδάξει. Τῶν οὖν συμφώνων ἡ διανομὴ γέγονεν; ὑπελείφθη δὲ τὸ ζ διπλοῦν. Καὶ πῶς ἐξ ἑνὸς συζυγία; τίνι δὲ συγγενὲς τὸ ζ κατὰ τὸν ἦχον; Τῷ ς . Καὶ ποία συζυγία διπλοῦ καὶ ἁπλοῦ; Ὁπότε καὶ τοῦ μέλλοντός ἐστι τὸ ς . Δίδοται οὖν διττόν, ἵνα καὶ ἰσοδυναμῇ καὶ διασταλῇ πρὸς τὸν μέλλοντα, ὅθεν ὡς νόθη καὶ ἀσύμφωνος κεῖται. Ἡ ἕκτη διὰ καθαροῦ τοῦω · οὐ γὰρ ἔτι ἦσαν σύμφωνα. Εἰ δὲ εἴη ποτὲ δύο σύμφωνα τὰ παραληγόμενα τῷ ω , τότε δεῖ τὸν ἀκριβῶς θέλοντα κρίνειν ἀποβλέπειν εἰς τὸν παρακείμενον τὸν μέσον καὶ οὕτως ἀποφαίνεσθαι περὶ τῆς συζυγίας· οἷον ἰδοὺ τύπτω ἀμφίβολόν ἐστι πότερον πρώτη ἢ δευτέρα· καί πως ἀπὸ τοῦ θέματος ἀμφίβολος· εἰ δὲ ἔλθωμεν εἰς τὸν μέσον παρακείμενον, εὑρίσκομεν τὸ τέτυπα, καὶ νοοῦμεν ὅτι τὸ π γνησιώτερόν ἐστι στοιχεῖον τοῦ ῥήματος· καὶ τὸ τίκτω ὁμοίως, καὶ ὅσα ἁπλῶς εἰπεῖν ἔχει δύο σύμφωνα. 〈Heliodori.〉 —Χρὴ δὲ εἰδέναι, ὅτι ἐν τῷ κόπτω περιττεύει τὸ τ δι’ εὐφωνίαν, τοῦ γὰρ π ἐστὶν ἡ συζυγία· καὶ δηλοῖ ὁ μέλλων τὸ ψ μόνον ἔχων, ὡς ἐν τῷ τέρπω 〈τέρψω〉 · δηλοῖ δὲ καὶ τὸ ῥηματικὸν ὄνομα· εἰ γὰρ ἀπὸ τοῦ ἔπω, ὃ δηλοῖ τὸ λέγω, φαμὲν ἔπος, καὶ ἀπὸ τοῦ κόπτω κόπος καὶ οὐ κόπτος, δῆλον ὡς τοῦ π ἐστὶν ἡ συζυγία, καὶ περιττεύει τὸ τ , ὡς καὶ ἐν γενικῇ ὀνόματος περιττὸν ὁρᾶται· 〈τοῦ〉 ἄναξ γὰρ ἄνακος ἦν ἡ γενική, καὶ πλεονασμῷ τοῦ τ ἄνακτος. Ἡ δὲ δευτέρα διὰ τοῦ γ ἢ κ ἢ χ ἢ κ τ .] Ἰστέον ὅτι ἐν τῷ τίκτω περιττεύει τὸ τ δι’ εὐφωνίαν· τοῦ γὰρ κ ἐστὶν ἡ συζυγία, ὡς δηλοῖ ὁ μέλλων τὸ ξ μόνον ἔχων, ὡς ἐν τῷ πλέκω πλέξω· δηλοῖ δὲ καὶ τὸ ῥηματικὸν ὄνομα· εἰ γὰρ ἀπὸ τοῦ πλέκω πλόκος λέγομεν, καὶ ἀπὸ τοῦ τίκτω τόκος καὶ οὐ τόκτος, δῆλον ὡς τοῦ κ 〈ἐστὶν〉 ἡ συζυγία, καὶ περιττεύει τὸ τ . Ἡ δὲ τρίτη διὰ τοῦ δ θ τ .] Οὐκ ἔστι δὲ πολλὰ εἰς τω βαρύτονα· ἀνύτω, ἀρύτω, ἐξ οὗ τὸ ἀρυταίνω· τὸ λίτω ἄρρητον. Ἡ δὲ τετάρτη διὰ τοῦ ζ ἢ δύο σ ς .] Τὸ μὲν ζ καλῶς τέτακται ἐν τῇ τετάρτῃ συζυγίᾳ, τέταρτον γάρ ἐστι σύμφωνον.

409 Πῶς δὲ συνετάγη τοῖς δύο σς , τοῦτο αὐτό τινες θαυμάζουσι. Πρὸς οὓς λέγομεν, ὅτι μετὰ τὸ τέταρτον σύμφωνον τὸ ζ πέμπτον ἦν τὸ θ , ὅπερ προείληπται ἐν τῇ τρίτῃ· μεθ’ ὃ τὸ κ , ὅπερ ἔσχεν ἡ δευτέρα· εἶτα τὸ λ μ ν ρ , ἅπερ ἀμετάβολα ὄντα καὶ μὴ δυνάμενα τὴν ἴσην ἔχειν δύναμιν καὶ τάξιν καὶ οἷον ὑπὸ τὸν αὐτὸν ζυγὸν συνεῖναι τῷ ζ διὰ τὴν ἐνοῦσαν ἐν αὐτοῖς ἀσθένειαν, ἰδίας ἔτυχε συζυγίας. Ὅτι γὰρ ἀσθενῆ ἐστι, δῆλον ἐξ ὧν ὑποταττόμενα ἀφώνῳ οὐ ποιεῖ μακράν. Τί οὖν ἐχρῆν τῷ ζ συζεῦξαι; μόνον γὰρ οὐκ ἠδύνατο ἀποτελέσαι συζυγίαν· τὸ ξ καὶ τὸ ψ προείληπται γὰρ ἐν τῷ μέλλοντι. Ἀλλὰ τὸ ς ; Οὐδὲ τοῦτο οἷόν τε ἦν, ἐπεὶ τὸ ς μέλλοντος χαρακτηριστικόν, καθὸ πᾶς μέλλων ἢ φύσει ἢ δυνάμει ἔχει τὸ ς , φύσει μέν, ὡς γελάσω τελέσω, δυνάμει δὲ διὰ τὰ διπλᾶ, τὸ ξ καὶ τὸ ψ , ἐπεὶ καὶ αὐτὰ ἐν τέλει δυνάμει ἔχει τὸς · τὸ γὰρ ξ ἐκ τοῦ κ καὶ ς καὶ τὸ ψ ἐκ τοῦ π καὶς · ἔνθεν ἡ φύσις ἀπορήσασα, τί συζεύξει αὐτῷ, ὕστερον ὑπενόησε τὰ δύο σς , ἵνα διπλασιασθὲν τὸ ς τὴν ἴσην ἕξει δύναμιν τῷ ζ καὶ αὐτῷ διπλῷ ὄντι· εἰκότως τοίνυν ἡ τετάρτη διὰ τοῦ ζ ἢ δύο σς . Διὰ τί διὰ τῶν δύο σς ; Διότι τὸ ἓν ς χαρακτηριστικόν ἐστι βαρυτόνου μέλλοντος, 〈οὐκ ἠδύνατο τὸ αὐτὸ χαρακτηριστικὸν εἶναι καὶ βαρυτόνου ἐνεστῶτοσ〉 · καὶ διὰ τοῦτο ἀνεδιπλασιάσθη, ἵνα διπλασιασθὲν τὴν ἴσην δύναμιν ἀναπληρώσῃ τῷ διπλῷ. Διὰ τί εἶπεν «οὐκ ἠδύνατο τὸ αὐτὸ χαρακτηριστικὸν εἶναι καὶ βαρυτόνου ἐνεστῶτος;» Διὰ τὸ κείρω κερῶ· τὸ ρ γὰρ χαρακτηριστικὸν ὂν τοῦ μέλλοντος χαρακτηριστικόν ἐστι καὶ βαρυτόνου ἐνεστῶτος, ἀλλ’ οὐκ ἔστι χαρακτηριστικὸν [τοῦ] βαρυτόνου μέλλοντος, ἀλλὰ [τοῦ] περισπωμένου. Διὰ τί εἶπε «βαρυτόνου ἐνεστῶτος»; Διὰ τὸ φυσῶ νοσῶ· τὸ γὰρ ἓν ς χαρακτηριστικὸν ὂν τοῦ μέλλοντος χαρακτηριστικόν ἐστι καὶ τοῦ ἐνεστῶτος, ἀλλ’ οὐκ ἔστι χαρακτηριστικὸν βαρυτόνου ἐνεστῶτος, ἀλλὰ περισπωμένου. Ἡ δὲ πέμπτη διὰ τῶν τεσσάρων ἀμεταβόλων λ μ ν ρ , οἷον πάλλω νέμω κρίνω σπείρ ω.] —

Eulogikon public reading copy · View original HTML at eulogikon.org

⟨Heliodori.⟩ —Ἀναγκαίως καὶ ἡ πέμπτη διὰ τῶν ἀμεταβόλων ἐκφέρεται· καὶ γὰρ ὀφείλουσα ὡς πέμπτη πέμπτον σύμφωνον ἔχειν τὸ θ , οὐκ ἠδυνήθη τοῦτο πρὸς ἑαυτὴν ἑλκύσαι, ἐπεὶ προκατείληπται ἐν τῇ τρίτῃ συζυγίᾳ· ἀλλ’ οὐδὲ τὸ κ , ἦν γὰρ ἐν τῇ δευτέρᾳ· καὶ ἐντεῦθεν εἰς ἀπορίαν περιστᾶσα ἀνειμένον τε εὑροῦσα τὸ λ , ἀναγκαίως δι’ αὐτοῦ καὶ τῶν ⟨ἄλλων⟩ ἀμεταβόλων ὡς ὁμογενῶν καὶ ἰσοδυνάμων ἐξηνέχθη. Διὰ τί διὰ τῶν τεσσάρων ἀμεταβόλων; Ἐπειδὴ τοῦ μὲν θ πέμπτου ὄντος συμφώνου καὶ προκαταληφθέντος ἐν τῇ τρίτῃ συζυγίᾳ, ὁμοίως καὶ τοῦ κ ἐν τῇ δευτέρᾳ, ἀναγκαίως λοιπὸν διὰ τοῦ λ καὶ τῶν λοιπῶν ἀμεταβόλων [καὶ] ἡ πέμπτη συζυγία τῶν βαρυτόνων ἐκφέρεται.

410 Καὶ περισπᾷ τὸν μέλλοντα καὶ τὸ ἀμετάβολον τηρεῖ ἐν αὐτῷ, καὶ τὴν παραλήγουσαν ἐν τῷ ἐνεστῶτι μακρὰν ἔχουσα ἐν τῷ μέλλοντι βραχεῖαν ἔχει, ὡς τὸ σπείρω σπερῶ, ψάλλω ψαλῶ, κρίνω κρινῶ, δείμω δεμῶ. Ἡ δὲ ἕκτη διὰ καθαροῦ τοῦ ω , οἷον ἱππεύω πλέω βασιλεύ ω.] — ⟨Heliodori.⟩ —Ἀναλωθέντων τοίνυν τῶν συμφώνων τῶν μὲν ἐν τῷ ἐνεστῶτι τῶν πέντε συζυγιῶν, τῶν δὲ ἐν τῷ μέλλοντι, ἀναγκαίως ἡ ἕκτη διὰ καθαροῦ τοῦ ω τεθεμάτισται. Διὰ τί διὰ καθαροῦ τοῦ ω ; Ἐπειδὴ προκατηναλώθησαν τὰ [ἄλλα] σύμφωνα ἐν ταῖς λοιπαῖς συζυγίαις· ἐλθοῦσα δὲ ἡ ἕκτη καὶ μὴ εὑροῦσα ἄλλο σύμφωνον ἔμεινε διὰ καθαροῦ τοῦ ω . Καὶ ποῦ προκατηναλώθησαν; Τὰ μὲν ἐν τῷ ἐνεστῶτι, τὰ δὲ ἐν τῷ μέλλοντι. Καὶ διὰ τί τῶν ἄλλων συζυγιῶν ἐκ διαφόρων συμφώνων χαρακτηριζομένων ἡ ἕκτη διὰ καθαροῦ τοῦ ω ἐκφέρεται; Ἀλλ’ οὖν οὐ τὸ ω ἐστὶ χαρακτηριστικὸν τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων, ἀλλὰ διὰ τῶν πρὸ αὐτοῦ φωνηέντων διαφόρων ὄντων χαρακτηρίζεται, κἀκ τούτου καὶ κυρίως ἐστὶ συζυγία. Καὶ διὰ πόσων τῶν πρὸ τοῦ ω φωνηέντων χαρακτηρίζεται; Διὰ πέντε, διὰ τοῦ ε α ι υ ο , οἷον πλέω βοάω πίω μηνύω ἱδρόω. Τινὲς δὲ καὶ ἑβδόμην συζυγίαν εἰσάγουσι διὰ τοῦ ξ καὶ ψ .] Ἀλλ’ οὐδέποτε τὸ σύμφωνον τοῦ μέλλοντος χαρακτηριστικὸν ἐγένετο ⟨ἐνεστῶτοσ⟩ βαρυτόνων· ὅθεν τὸ ς ἐν ἐνεστῶτι περισπωμένων νοεῖται, οἷον μισῶ φυσῶ· οὐκοῦν οὐδὲ τὸ ἀλέξω αὔξω ἕψω ἀνάλογον ἐνεστῶτος βαρυτόνων. Διδάσκει καὶ ἡ κλίσις· εἰ γὰρ βαρύτονά εἰσιν, ἰσοσυλλάβως ἐχέτω ὁ μέλλων· ἀλλαμὴν περιττοσυλλαβοῦσιν, ἑψήσω γὰρ καὶ ἀλεξήσω· οὐ βαρυτόνων ἄρα ἑβδόμη συζυγία, ἀλλὰ τοῖς Ἀττικοῖς συνήθης ἀνάγνωσις, οἷον ἀλέξω ἕψω· ταῦτα γὰρ τῶν περισπωμένων ἐστίν· οὐ γὰρ ἔστι συζυγία βαρύτονός ποτε διὰ τοῦ ξ καὶ ψ , τόνον δὲ ἔσχον Ἀττικόν· εἰ οὖν εὑρίσκεται ἀλεξήσω καὶ ἑψήσω ὁ μέλλων, ὁμολογουμένως περισπώμενά εἰσι. Τινὲς δὲ καὶ τὰ ἑξῆς.] Εἴρηται ἀλλαχοῦ, ὅτι ἐὰν μὴ ἀρέσκηται δόξῃ ὁ τεχνικός, προστίθησι τὸ «τινές»· καὶ λέγομεν τούτου ἕνεκα αὐτὸν τιθέναι τὰς ἀλλοτρίας δόξας, ἵνα μὴ τοῖς πολλοῖς δοκῇ κατὰ ἀγνωσίαν παραπέμπεσθαι. Καὶ λέγομεν ὅτι, ἐπεὶ δεδαπάνηται ὁ πᾶς ἀριθμὸς τῶν συμφώνων, ὥστε συμβαίνειν τὴν ἕκτην ἐκφέρεσθαι διὰ καθαροῦ τοῦ ω μηκέτι ὄντος συμφώνου, [ὥστε] οὐχ οἷόν τε ἦν τῆς ἕκτης σχεδὸν εἰπεῖν κινδυνευούσης μὴ εἶναι, καὶ ἑβδόμην παράγειν. Ἀλλὰ ῥητέον, ὅτι ταῦτα τῶν περισπωμένων εἰσίν· οὐκ ἔστι γὰρ συζυγία βαρύτονός ποτε διὰ τοῦ ξ καὶ ψ . Ἄλλως τε πάλιν.

411 — ⟨Heliodori.⟩ — Τινὲς δὲ καὶ ἑβδόμην συζυγίαν εἰσάγουσι διὰ τοῦ ξ καὶ ψ , οἷον ἀλέξω ἕψ ω.] Αὕτη Ἀττικὴ χρῆσίς ἐστι· τῆς γὰρ κοινῆς περισπωμένην ἀλεξῶ καὶ ἑψῶ αὐτοὶ ἀναπέμπουσιν, ἀλέξω καὶ ἕψω, ὡς καὶ τὸ θέλω καὶ μέλω καὶ ὀφείλω· διὸ οὐδὲ ἀπὸ τούτων οἱ μέλλοντες ὁ θελήσω καὶ μελήσω καὶ ὀφειλήσω, ἀλλ’ ἀπὸ τοῦ θελῶ καὶ μελῶ καὶ ὀφειλῶ ἀχρήστων ὄντων. Καὶ πῶς τὸ μέλω (τὸ φροντίζω) βαρυνόμενον μελήσω ἔχει τὸν μέλλοντα; ἐπειδή, καθά φησιν Ὦρος ὁ γραμματικός, ἐπειδὰν ὁ μέλλων περιττοσυλλαβῇ τοῦ ἐνεστῶτος, ὁ ἐνεστὼς ἀκριβῶς περισπᾶται, οἷον ποιῶ ποιήσω, γελῶ γελάσω, φιλῶ φιλήσω. Εὕρηται τὸ μέλω (τὸ φροντίζω) δι’ ἑνὸς ἐκφερόμενον λ καὶ βαρυνόμενον, κἂν ὁ μέλλων ἐνταῦθα τοῦ ἐνεστῶτος περιττοσυλλαβῇ· καὶ πειστέον τοῖς ἀρχαίοις οὕτω προφέρουσι καὶ πᾶσι μέχρις ἡμῶν ὁμογνωμονοῦσι. Καὶ αὗται μέν εἰσιν αἱ τῶν βαρυτόνων ῥημάτων συζυγίαι. Περισπωμένων δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ῥημάτων συζυγίαι εἰσὶ τρεῖ ς.] Ἐπεὶ τὰ βαρύτονα ἐκ τῆς πλοκῆς τοῦ τελευταίου συμφώνου τοῦ κατὰ τὸ πρῶτον πρόσωπον τοῦ θέματος χαρακτηρίζονται, διαστέλλων ἔφη ὅτι δεῖ ταύτας ἀπὸ τῶν δευτέρων καὶ τρίτων προσώπων γινώσκειν ἅμα τε καὶ κανονίζειν. Ἡ πρώτη μὲν ἐκφέρεται ἐπὶ δευτέρου καὶ τρίτου προσώπου διὰ τῆς ει διφθόγγου, οἷον ποιῶ ποιεῖς ποιεῖ, νοῶ νοεῖς νοεῖ. Τί τὸ γνώρισμα τῆς πρώτης συζυγίας τῶν περισπωμένων; Τὸ ἐκφέρεσθαι ἐπὶ τοῦ μέλλοντος διὰ τοῦ η ἢ τοῦ ε , οἷον νοήσω τελέσω· τὸ τοίνυν ποιῶ γέγονεν ἀπὸ τοῦ ποιέω βαρυτόνου, καὶ κατὰ κρᾶσιν ποιῶ. —Ἡ δευτέρα τῶν περισπωμένων διὰ τίνος ἐκφέρεται; Διὰ τῆς ᾳ διφθόγγου 〈ἐπὶ δευτέρου καὶ τρίτου προσώπου〉 , οἷον βοῶ βοᾷς βοᾷ· καὶ προσγέγραπται μὲν τὸ ι , ἀνεκφώνητον δὲ μένει, ἅτε δὴ ἀδυνάτως ἔχον ἀεὶ μετὰ μακροῦ φωνήεντος εὑρισκόμενον ποιεῖσθαι ἐκφώνησιν, ὡς ὁ τεχνικὸς λόγος, ὡς πᾶν ι μακρῷ ὑποταττόμενον ἀνεκφώνητον μένει. Τί τὸ γνώρισμα τῆς δευτέρας συζυγίας τῶν περισπωμένων; Τὸ ἐκφέρεσθαι ἐπὶ τοῦ μέλλοντος διὰ τοῦ α ἢ τοῦ η , οἷον γελάσω βοήσω· γέγονε δὲ τὸ βοῶ ἐκ τοῦ βοάω βαρυτόνου, καὶ κατὰ κρᾶσιν βοῶ. —Ἡ δὲ τρίτη τῶν περισπωμένων διὰ τίνος ἐκφέρεται; Διὰ τῆς οι διφθόγγου ἐπὶ δευτέρου καὶ τρίτου προσώπου, οἷον χρυσῶ χρυσοῖς χρυσοῖ. Τί τὸ γνώρισμα τῆς τρίτης συζυγίας τῶν περισπωμένων; Τὸ ἐκφέρεσθαι ἐπὶ τοῦ μέλλοντος διὰ τοῦ ω ἢ τοῦο · καὶ πάντοτε μὲν διὰ τοῦ ω , στεφανώσω ὑψώσω χρυσώσω περατώσω περαιώσω καὶ ἕτερα πλεῖστα, ἐνίοτε δὲ καὶ διὰ τοῦ ο , οἷον βόσω (τὸ θρέψω), ὀνόσω (τὸ μέμψομαι), ἐνόσω (τὸ κινήσω), ἀρόσω (τὸ ἀροτριάσω)· τὸ μέντοι βώσω (τὸ βοήσω) καὶ ἑνώσω (τὸ μῖξιν ποιήσω) καὶ ἀρώσω (τὸ εὐωδιάσω) μεγάλα. Πόθεν ἐγένετο τὸ χρυσῶ; Ἐκ τοῦ χρυσόω, καὶ κατὰ κρᾶσιν χρυσῶ. 〈Heliodori.

412 〉 —Ζητοῦσι δὲ πολλοί, τίνος χάριν οὐκ ἐτηρήθη ἡ τάξις τῶν φωνηέντων ἐν τοῖς περισπωμένοις, ὥσπερ τῶν συμφώνων ἐν τοῖς βαρυτόνοις· ἐνταῦθα γὰρ τὸ ε δεύτερον ὂν τοῦ α ἐν τοῖς φωνήεσι τὴν πρώτην συζυγίαν ἐδήλωσε. Καὶ λεκτέον, ἐπειδὴ προκέκριται ἡ ει δίφθογγος τῆς ᾳ καὶ τῆς οι , καθὸ ἡ μὲν ει τελεία ἐστίν, ἡ δὲ αι καὶ ἡ οι οὐ τέλειαι· πολλάκις γὰρ ὡς ἀτελεῖς καὶ ἀντὶ βραχείας παραλαμβάνονται, ἅτε δὴ κοιναὶ οὖσαι· τούτου χάριν προετάγη τῶν ἄλλων· ἢ ὅτι καὶ ἀπὸ βαρυτόνων θεμάτων αὐτὴν ἠπιστάμεθα καὶ ἦμεν αὐτῆς ἐθάδες, τούτου χάριν τὴν πρώτην εἴληχε τάξιν, ἵνα μὴ ἀθρόαν ὁρῶντες τὴν μεταβολὴν ἐν τοῖς περισπωμένοις ταραχθῶμεν· ἢ διὰ τὸ ἔχειν δυσχέρειαν τὴν ᾳ δίφθογγον, ἅτε δὴ ἔχουσα μὲν τὸ ι προσγεγραμμένον, μὴ ἐκφωνούμενον δέ, ὡς εὐκολωτέρα τῶν ἄλλων προεκρίθη. Τὰ οὖν περισπώμενα δυνάμει βαρύτονά εἰσιν. Ἄλλως. —Εἰ πρῶτόν ἐστι τὸ α , ἀνάγκῃ ἡ ᾳ δίφθογγος καὶ ἡ δι' αὐτῆς προφερομένη συζυγία προτάττεσθαι ὀφείλει. Ἀλλὰ καὶ ἐνταῦθα ἀπολογούμεθα τοιοῦτον λέγοντες λόγον, ὅτι 〈εἰ〉 καὶ πρῶτον φωνῆεν τὸ α , ὡς ὁμοίως καὶ ἡ αι δίφθογγος, ἀλλ' ὅμως πέφυκεν ἀεὶ πάντα ὑφ' ἓν τὰ ῥήματα διὰ τῆς ει διφθόγγου προφέρεσθαι τὰ βαρύτονα· ἠκολούθησε δὲ καὶ ἡ πρώτη, τουτέστιν ἡ διὰ τῆς ει διφθόγγου, τοῖς προλαβοῦσιν. Διὰ τί ὥσπερ τὸ β ἐν συμφώνοις πρῶτον ὂν πρώτην ποιεῖ τῶν βαρυτόνων συζυγίαν, μὴ καὶ τὸ α πρῶτον ὂν ἐν φωνήεσι πρώτην ἐχαρακτήρισε τὴν ἀπὸ κλίσεως γνωριζομένην πρώτην συζυγίαν τῶν περισπωμένων, ἀλλὰ δευτέραν, καὶ τὸ ε δεύτερον ὂν τῶν φωνηέντων ἐποίησε πρώτην τῶν περισπωμένων; Καί φαμεν, ὅτι προτέτακται τὸ ε τοῦ α , ὅτι καὶ αἱ ὑγιῶς ἔχουσαι λέξεις τῶν ῥημάτων διὰ τῆς ει διφθόγγου κλίνονται, οἷον βοάεις χρυσόεις, καὶ οὐ διὰ τῆς αι ἢ οι . Ὧν ἡ μὲν πρώτη ἐκφέρεται ἐπὶ δευτέρου καὶ τρίτου προσώπου διὰ τῆς ει διφθόγγο υ , ἡ δὲ δευτέρα διὰ τῆς ᾳ , ἡ δὲ τρίτη διὰ τῆς ο ι .] — 〈Heliodori.〉 —Διὰ τί καθὼς μίαν ἔχουσι γένεσιν, οἷον ὅτι ἐκ βαρυτόνων γεγόνασι, μίαν οὐ ποιοῦνται καὶ τὴν κλίσιν; νοέω γὰρ νοῶ καὶ χρυσόω χρυσῶ καὶ βοάω βοῶ. Ὅτι τῆς ἀνωμαλίας ταύτης ἡ συναίρεσις αἰτία καθέστηκε· ποιέεις γὰρ κατὰ τὸ δεύτερον πρόσωπον τὸ ἐντελές, καὶ κατὰ συναίρεσιν ποιεῖς· τὰ γὰρ δύο εε εἰς τὴν ει δίφθογγον κιρνᾶται· βοάεις τὸ ἐντελές, καὶ κατὰ συναίρεσιν βοᾷς· τὸ γὰρ α καὶ ε εἰς α μακρὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κιρνᾶται, ἀείδω ᾄδω· πρόσκειται δὲ τὸ ι , διότι τὰ δεύτερα καὶ τρίτα τῶν εἰς ω πρόσωπα δίφθογγον θέλει 〈ἔχειν〉 τὴν διὰ τοῦι · ἀνεκφώνητον δὲ μένει, νικώμενον τῷ φθόγγῳ τῆς μακρᾶς.

413 Καὶ ἡ τρίτη χρυσόεις χρυσοῖς· αὕτη ἡ συναίρεσις τὴν ου ἤθελεν ἔχειν, τὸ γὰρ ο καὶ ε εἰς ταύτην κιρνᾶται, τὸ ἐμόν τοὐμόν, τὸ ἔλαιον τοὔλαιον· ἀλλ’ ἐμελέτησε τὰ δεύτερα καὶ τρίτα πρόσωπα δίφθογγον ἔχειν τὴν διὰ τοῦ ι . Τῶν δὲ εἰς μι ληγόντων ῥημάτων συζυγίαι εἰσὶ τέσσαρε ς.] Τί τὸ γνώρισμα τῆς πρώτης συζυγίας τῶν εἰς μι ; Τὸ ἐκφέρεσθαι ἐπὶ τρίτου προσώπου διὰ τοῦ η κατὰ τὴν παραλήγουσαν, οἷον τίθημι τίθης τίθησιν· ἐπὶ δευτέρου δὲ ἡ παραλήγουσα τοῦ πρώτου προσώπου ἐστὶ λήγουσα [τοῦ δευτέρου]. Ἔχει δὲ καὶ ἕτερον γνώρισμα, τὸ γίνεσθαι ἐκ τῆς πρώτης συζυγίας τῶν περισπωμένων, ὡς ἀπὸ τοῦ 〈τιθέω〉 τιθῶ γέγονε τίθημι· ἔχει δὲ καὶ ἐπὶ τοῦ μέλλοντος τὸ η , οἷον θήσω ἀφήσω, καὶ ἐπὶ τῶν παθητικῶν τὸ ε , οἷον τίθεμαι ἀφίεμαι. —Τί τὸ γνώρισμα τῆς δευτέρας συζυγίας τῶν εἰς μι ; Τὸ γίνεσθαι ἀπὸ τῆς δευτέρας τῶν περισπωμένων, ὡς ἀπὸ τοῦ ἱστάω ἱστῶ γέγονεν ἵστημι, καὶ τὸ ἐκφέρεσθαι ἐπὶ δευτέρου 〈καὶ τρίτου〉 προσώπου διὰ τοῦ η , οἷον ἵστημι ἵστης ἵστησι, καὶ τὸ ἔχειν ἐπὶ τοῦ μέλλοντος τὸ η , οἷον στήσω, καὶ ἐπὶ τῶν παθητικῶν τὸ α , οἷον ἵσταμαι. —Τί τὸ γνώρισμα τῆς τρίτης συζυγίας τῶν εἰς μι ; Τὸ γίνεσθαι μὲν ἀπὸ τῆς τρίτης τῶν περισπωμένων, ὡς ἀπὸ τοῦ διδόω διδῶ γέγονε δίδωμι, τὸ ἐκφέρεσθαι δὲ καὶ ἐπὶ δευτέρου καὶ τρίτου προσώπου διὰ τοῦ ω , οἷον δίδωμι δίδως δίδωσι, καὶ τὸ ἔχειν τὴν μετοχὴν εἰς ους , οἷον διδούς, ἔχειν δὲ καὶ ἐπὶ τοῦ μέλλοντος τὸ ω , οἷον δώσω, ἐπὶ δὲ τῶν παθητικῶν [τὸ ἔχειν] τὸ ο , οἷον δίδομαι πέπομαι. Ἔστι δὲ καὶ δίδημι (τὸ δεσμεύω), ὅπερ ἐστὶ πρώτης συζυγίας τῶν εἰς μι , γίνεται δὲ διδῶ διδεῖς δίδημι (τὸ δεσμεύω) [ἔχειν τὲ καὶ τὴν μετοχὴν εἰς ους , οἷον διδούς διδόντος]. —Τί τὸ γνώρισμα τῆς τετάρτης συζυγίας τῶν εἰς μι ; Τὸ γίνεσθαι μὲν ἀπὸ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων, ἀπὸ γὰρ τοῦ ζευγνύω γέγονε ζεύγνυμι, τὸ παραλήγεσθαι δὲ καὶ τῷ υ καὶ συστέλλειν τοῦτο ἐπὶ τῶν παθητικῶν, καὶ τὸ ἐκφέρεσθαι ἐπὶ δευτέρου καὶ τρίτου προσώπου διὰ τοῦ υ , οἷον ζεύγνυμι ζεύγνυς ζεύγνυσι, καὶ τὸ ἔχειν τὴν μετοχὴν εἰς υς , οἷον ζευγνύς, καὶ τὸ φυλάττειν τὸ υ ἐπὶ τῶν παθητικῶν, οἷον ζεύγνυμαι. Ἄξιόν ἐστι ζητῆσαι, τίνος ἕνεκα αἱ μὲν ἄλλαι ἀπὸ περισπωμένων, ἡ δὲ τετάρτη ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων. Λεκτέον πρὸς τοῦτο, ὅτι τὰ περισπώμενα τρεῖς εἶχε συζυγίας, ὥστε τὰς τρεῖς ἀπὸ τῶν τριῶν γεγενῆσθαι· εἰ γὰρ ἦν καὶ τετάρτη, καὶ ἡ τετάρτη τῶν εἰς μι ἐκεῖθεν ἐγένετο. Ἄλλως τε εἴ τις ἐθελήσειεν τῇ ἀκριβείᾳ ἐπιβάλλειν, καὶ τὰς ἄλλας τρεῖς εὑρήσει ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων γινομένας· ἀνάλυσον 〈γὰρ〉 καὶ τὰς ἄλλας τρεῖς, καὶ εὑρήσεις αὐτὰς τῆς ἕκτης τῶν βαρυτόνων. Χρὴ δὲ γινώσκειν, ὅτι οὐ πᾶν ῥῆμα τῆς ἕκτης τῶν βαρυτόνων ἀποτελεῖν δύναται 〈παράγωγον〉 εἰς μι · εὐθὺς οὖν τὰ δίφθογγον ἔχοντα ἐν τῇ παραληγούσῃ ἀδυνατεῖ παραχθῆναι εἰς τὴν τοιαύτην παράληξιν, ὡς τὸ ἱππεύω βασιλεύω. Ἔχουσι δὲ τὴν διάκρισιν οὐκ ἀπὸ συμφώνου παραλήγοντος τοῦ πρώτου προσώπου, ὥσπερ αἱ συζυγίαι τῶν βαρυτόνων, ἀλλ’ οὐδὲ μὴν ἀπὸ τῶν δευτέρων προσώπων, καθάπερ τὰ περισπώμενα, ἀλλ’ ἀπὸ τῆς παραλήξεως τῶν παθητικῶν πρώτων προσώπων τοῦ ἐνεστῶτος χρόνου.

414 〈Heliodori.〉 —〈Ἰστέον δὲ〉 καὶ ὅτι οὐκ ἀπὸ παντὸς περισπωμένου ῥήματος οὐδὲ ἁπάσης ἕκτης συζυγίας γίνεται ἡ εἰς μι παραγωγή, ἀλλ’ ὅτι τὰ εἰς μι λήγοντα πάντως ἀπό τινος τούτων γίνεται· οὐδὲ γὰρ ἀπὸ τοῦ βασιλεύω γίνεται εἰς μι παράγωγον ῥῆμα· καὶ ἔστιν αἴτιον τοῦ μὴ ἐκφέρεσθαι ἀπὸ τοῦ βασιλεύω εἰς μι παράγωγον ῥῆμα τῶν δύο φωνηέντων ἡ παράληξις· οὐδέποτε γὰρ οἱ εἰς μι ἐνεστῶτες διφθόγγῳ παραλήγονται, πλὴν τοῦ ΕΙΜΙ [ὀξυτόνου] τοῦ κατὰ γραφὴν διφορουμένου. Τὰ εἰς μι λήγοντα πάντα παράγωγά ἐστι, καὶ οὐκ ἀπὸ συμφώνου γνωρίζεται, ὡς αἱ τῶν βαρυτόνων, οὐδὲ ἀπὸ κλίσεως, ὡς αἱ τῶν περισπωμένων συζυγίαι, ἀλλ’ ἀπὸ τῶν πρωτοτύπων καταλαμβάνονται. Καὶ ἔστιν εἰπεῖν, ὡς ἀπὸ τοῦ τιθῶ τιθεῖς πρώτης τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περισπωμένων γίνεται τίθημι πρώτη τῶν εἰς μι , καὶ ἀπὸ τοῦ ἱστῶ ἱστᾷς δευτέρας τῶν περισπωμένων γέγονεν ἵστημι δευτέρα τῶν εἰς μι , καὶ πάλιν ἀπὸ τοῦ διδῶ διδοῖς τρίτης τῶν περισπωμένων γέγονε δίδωμι τρίτη καὶ αὕτη τῶν εἰς μι · ἡ δὲ τετάρτη τῶν εἰς μι ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων. Οὐδέποτε δὲ τὰ εἰς μι διφθόγγῳ παραλήγεται, χωρὶς τοῦ ΕΙΜΙ. Ἡ δὲ τετάρτη ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνω ν , ὡς ἀπὸ τοῦ πηγνύω γέγονε πήγνυμ ι.] — 〈Heliodori.〉 — Ἰστέον ὅτι τὸ μὲν πηγνύω βραχὺ ἔχει τὸ υ , τὸ δὲ πήγνυμι μακρόν· τοιαύτη γὰρ ἡ παράληξις τῶν εἰς μι κατὰ τὰ ἑνικὰ μακρᾷ παραληγομένων· ἔν γε μὴν τοῖς πληθυντικοῖς ἀπολαμβάνει τὸν ἐξ ἐντελῶν τῶν πρωτοτύπων οἰκεῖον βραχὺν χρόνον. Ζήτησις δὲ ἡμῖν ἀνακύπτει, τί δήποτε τὰ ἀπὸ περισπωμένων παράγωγα εἰς μι περιττοσυλλαβοῦσι τοῖς πρωτοτύποις, τά γε μὴν ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων ἰσοσύλλαβον ἔχει τὴν παραγωγήν. Λέγομεν δὲ πρὸς τοῦτο, ὅτι τὸ πάθος τῶν περισπωμένων ἐστὶν αἰτία· εἰ γὰρ εἰς τὸ ἐντελὲς ἀναλυθείη, τὰς ἴσας πάντως ἕξει συλλαβάς. Διὰ τί ἡ τετάρτη συζυγία τῶν εἰς μι γίνεται ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων; Ἐπειδὴ μὴ ἔχουσα τετάρτην συζυγίαν τῶν περισπωμένων εἰκότως ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων γέγονε· καὶ γὰρ αἱ τῶν περισπωμένων συζυγίαι, ἀφ’ ὧν καὶ αἱ τῶν εἰς μι γεγόνασιν αἱ τρεῖς, κατὰ τὴν ἐντέλειαν ἀπὸ τῆς ἕκτης εἰσὶ τῶν βαρυτόνων· τὸ γὰρ τιθῶ ἀπὸ τοῦ τιθέω, καὶ τὸ ἱστῶ ἀπὸ τοῦ ἱστάω, καὶ τὸ διδῶ ἀπὸ τοῦ διδόω γέγονεν. Πόσα σημαντικὰ τῶν μελλόντων γράμματα; Τρία, ξ ψ ς .

Σημείωσαι δὲ ὅτι ὁ μέλλων τῆς πρώτης συζυγίας τῶν βαρυτόνων ἔχει ἀεὶ τὸ ψ , λείβω λείψω, τέρπω τέρψω, γράφω γράψω, κόπτω κόψω· ὁ δὲ μέλλων τῆς δευτέρας ἔχει ἀεὶ τὸ ξ , οἷον λέγω λέξω, πλέκω πλέξω, τρέχω θρέξω, τίκτω τέξω. Οἱ μέντοι τῶν ἄλλων συζυγιῶν μέλλοντες ἔχουσι τὸ ς , χωρὶς ὀλίγων τινῶν τῆς τετάρτης ἐκφερομένων διὰ τοῦ ξ , οἷον ὀρύσσω ὀρύξω, νύττω νύξω, πλήττω πλήξω· ἢ μᾶλλον ὅσα διὰ δύο ττ ἔχουσι τὸν ἐνεστῶτα καὶ αὐτὸν τὸν μέλλοντα διὰ τοῦ ξ ἔχουσι· τινὲς γὰρ τὸ νύττω γράφουσι καὶ διὰ τοῦ τ καὶ γ καὶ τἄλλα τοιαῦτα, οἷον φράτγω νύτγω ὀρύτγω· τὰ δὲ ἔχοντα τὸ γ ἐν τῷ ἐνεστῶτι ἔχουσι τὸ ξ ἐν τῷ μέλλοντι, οἷον πνίγω πνίξω. Φασὶ δὲ ὅτι οὕτως ἐνδέχεται γράφεσθαι, τουτέστι διὰ τοῦ τ καὶ γ , διὰ τὸ τὸν δεύτερον ἀόριστον διὰ τοῦ γ προφέρεσθαι, οἷον ἔφραγον ἔνυγον ὤρυγον, ἐφράγην ἐνύγην ὠρύγην. Πλὴν διὰ δύο ττ γραπτέον ταῦτα, ἐπεὶ ψιλὰ ψιλῶν ἡγεῖται καὶ δασέα δασέων καὶ μέσα μέσων, καὶ διὰ τὸ μὴ ἐνδέχεσθαι πρὸ τοῦ γ τὸ τ εὑρίσκεσθαι, ὡς τοῦ τ ὄντος ψιλοῦ, τοῦ δὲ γ μέσου. § 15 (19b). Περὶ μετοχῆς. Τί ἐστι μετοχή; Λέξις μετέχουσα τῆς τῶν ῥημάτων καὶ τῆς τῶν ὀνομάτων ἰδιότητος. Τί μετέχει τοῦ ὀνόματος καὶ τί τοῦ ῥήματος; Τοῦ μὲν ὀνόματος γένη καὶ πτώσεις, τοῦ δὲ ῥήματος διαθέσεις, χρόνους καὶ συζυγίας. [Μετέχει γὰρ τῶν μὲν ῥημάτων ἔχουσα χρόνους καὶ διαθέσεις, τῶν δὲ ὀνομάτων γένη καὶ πτώσεις.] Παρέπεται δὲ αὐτῇ ταῦτα ἃ καὶ τῷ ῥήματι καὶ τῷ ὀνόματ ι , δίχα προσώπων τε καὶ ἐγκλίσεω ν.] Εὐλόγως ἡ μετοχὴ οὔτε πρόσωπα οὔτε ἐγκλίσεις ἔχει, ἐπεὶ καὶ ὀνόματος τάξιν ἐπέχει. Δηλοῖ δὲ ἡ μετοχὴ ἐγκλίσεις καὶ πρόσωπα διὰ τῆς μετὰ τοῦ ῥήματος συντάξεως· τὸ γὰρ «ἀναγινώσκων περιβλέπομαι» ὁριστικὴν ἔχει τὴν 〈ἔγ〉 κλισιν, καὶ τὸ «ἀναγινώσκων εὔχου» προστακτικήν. Ἡλιοδώρο υ. — Μετοχή ἐστι λέξις ἀντὶ ῥήματος ἀναγκαίως παραλαμβανομένη, μετὰ τῶν παρεπομένων τῷ ῥήματι, παραστατικὴ γένους καὶ πτώσεων καὶ τῶν συνόντων ἀριθμῶν. Διὰ τί δὲ ἀναγκαίως ἀντὶ ῥήματος παραλαμβάνεται; Λεκτέον, ὅτι τὰ συνεκτικὰ τῶν μερῶν τοῦ λόγου ὀνόματα καὶ ῥήματά εἰσιν, ἅπερ ἀλλήλοις συμπλεκόμενα ἀποτελεῖ τοὺς λόγους μηδενὸς δεόμενα καὶ τέλειον νοῦν ἀπεργάζεται, οἷον «Ἄβρων διαλέγεται», «Πλάτων φιλοσοφεῖ». Καὶ ἐπειδὴ γίνεται σύνταξις προηγουμένων ὀνομάτων δύο δίχα συνδέσμου, ἑνὸς ῥήματος ἐπαγομένου καθ’ ἑνὸς προσώπου, ἤγουν δύο ὀνομάτων μετὰ ῥήματος, οἷον «ὁ ταχὺς ἵππος ἔδραμεν, ὁ ξανθὸς Μενέλαος ἐπολέμησεν», καὶ τοὐναντίον ἔδει μετὰ δύο ῥημάτων ἓν ὄνομα· ἀνάγκη γὰρ ἦν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπὶ τοῦ ῥήματος τὴν αὐτὴν σύνταξιν γίνεσθαι, ἑνὸς μὲν ὀνόματος ὑποκειμένου, δύο δὲ ῥημάτων ἐπαγομένων ἀσυνδέτως καθ' ἑνὸς προσώπου, ὅπερ ἀδύνατον.

416 Πῶς γὰρ ἂν συσταίη τὸ «Ἀγαμέμνων ἐπολέμησεν ἐνίκησεν», εἰ μὴ ἄρα λάβοι τὸν 〈καί〉 σύνδεσμον, ὅπερ οὐκ ἦν ἐπὶ τῆς προτέρας συντάξεως. Ἵνα δὴ τοίνυν καὶ τὰ δύο ῥήματα ἀσυνδέτως καθ' ἑνὸς λαμβάνηται προσώπου, τὸ ἕτερον τῶν ῥημάτων εἰς μετοχὴν σχηματίζεται, καὶ οὕτως ὁ λόγος συνίσταται, «Ἀγαμέμνων πολεμήσας ἐνίκησεν». Ἀναγκαίως οὖν μετὰ τὸ ὄνομα καὶ τὸ ῥῆμα ἡ μετοχὴ τέτακται, ἐπεὶ εἰ ἦν μετὰ τὸ ἄρθρον, οὐκ ἂν ἔτι ἐκλήθη μετοχή, ἐπεὶ οὐ μετέχει τῆς τοῦ ἄρθρου κοινωνίας. Ὁριστέον δὲ αὐτὴν οὕτως· μετοχή ἐστι λέξις ἀναγκαίως ἀντὶ ῥήματος παραλαμβανομένη μετὰ τῶν παρεπομένων τῷ ῥήματι, παραστατικὴ γένους καὶ πτώσεων. Καὶ ὅτι μὲν λέξις δῆλον, ἔχει γάρ τι λεκτόν. — Ἀντὶ ῥήματος δὲ παραλαμβάνεται, ἐπειδὴ τὰ συνεκτικὰ τῶν μερῶν ὀνόματα καὶ ῥήματά εἰσιν, ἅπερ ἀλλήλοις ἐπιπλεκόμενα τοὺς λόγους ἀποτελεῖ μηδενὸς δεόμενα, οἷον «Θέων φιλοσοφεῖ». Ἔστι δὲ εὑρεῖν προταττόμενα τοῦ ῥήματος δύο ὀνόματα, οἷον « 〈ὁ〉 δραστικὸς Ἀχιλλεὺς ἐπολέμησε», καὶ πάλιν μετὰ τὸ ῥῆμα δύο ὀνόματα, «ἐπολέμησεν 〈ὁ〉 δραστικὸς Ἀχιλλεύς»· δύο δὲ ῥήματα πρὸ τοῦ ὀνόματος ἢ μετὰ τὸ ὄνομα δύο ῥήματα εὑρεῖν ἀδύνατον, εἰ μὴ τὸ ἓν ῥῆμα εἰς μετοχὴν τραπῇ· οὐδὲ γὰρ λέγομεν «Ἀχιλλεὺς ἐπολέμησεν ἐνίκησε», μᾶλλον δὲ «Ἀχιλλεὺς πολεμήσας ἐνίκησεν». Ἰστέον δὲ ὅτι πᾶσα μετοχὴ τριγενής ἐστι χωρὶς ὀλίγων· καὶ ὅτι πᾶσα μετοχὴ ἀρσενικὴ εἰς ν λήγουσα ἢ ς μετὰ μακρᾶς διὰ τοῦ ντ κλίνεται, πλὴν τῶν παρακειμένων καὶ ὑπερσυντελίκων· καὶ ὅτι πᾶσα μετοχὴ θηλυκὴ εἰς α λήγει ἢ εἰς η , οἷον λέγουσα λεγομένη. 〈Heliodori.〉 —Ἰστέον γε μὴν ὡς πᾶσα μετοχὴ τριγενής ἐστι, πλὴν εἰ μὴ ἐφ' ὧν ἡ φύσις κωλύσει καὶ οὐκ ἐᾷ, [διὰ τὸ] ὡς ἐπὶ τοῦ κύουσα ἐκτροῦσα· καὶ ὅτι πᾶσα μετοχὴ παράγωγός ἐστιν, ἀπὸ ῥήματος γὰρ τὴν ἀρχὴν ἔχει. Διαφέρει δὲ τοῦ ὀνόματος, ὅτι ἐκεῖνο μὲν ποιὰν οὐσίαν παρίστησιν, ἡ δὲ ἀόριστον· τοῦ 〈δὲ〉 ῥήματος διαφέρει, ὅτι ἐν ἐκείνῳ πρώτως μὲν τὸ πρόσωπον δηλοῦται, συνεπινοεῖται δὲ ἡ διάθεσις, ἐν ταύτῃ δὲ πρώτως λαμβάνεται ἡ διάθεσις, συνεπινοεῖται δὲ τὸ πρόσωπον. Γίνωσκε δὲ ὅτι ἐν μὲν τοῖς ἄλλοις μέρεσι τοῦ λόγου ἔστιν εὑρέσθαι καὶ πρωτότυπον καὶ παράγωγον, ἐπὶ μὲν τοῦ ὀνόματος, ὡς τὸ λίθος καὶ λίθινος, ἐπὶ δὲ τοῦ ῥήματος, ὡς τὸ ὄπτω ὀπτεύω, καὶ 〈ἐπὶ〉 τοῦ ἄρθρου ὁμοίως, καὶ ἐπὶ τῶν ἄλλων μερῶν ἁπλῶς εἰπεῖν, πλήν γε ἐν τῇ μετοχῇ οὐκ ἔστιν εὑρεῖν πρωτότυπον· καὶ γὰρ ἐν παραγωγῇ ἐστιν· οὐκ ἔστι γὰρ εὑρεῖν μετοχὴν μὴ προϋπάρχοντος ῥήματος.

417 Ἀναγκαίως οὖν ὡς καὶ τοῦ ὀνόματος ἔχουσα τὸ ἴδιον καὶ χαρακτῆρα ὀνομαστικὸν ἀνεδέξατο. Εἰ οὖν πάθοι τι ἡ μετοχή, οὐκ αὐτὴ πάσχει, ἀλλὰ τὸ προϋπάρχον ῥῆμα, καὶ εἰ ἐν τῷ ῥήματι πρόσωπα λείψειαν διὰ τὴν ἀσυνταξίαν, ἐλλείψει καὶ ἐν τῇ μετοχῇ. Παρέπεται δὲ τῇ μετοχῇ πάντα etc. = Σ v 255, 19—24. Πόσα τελικὰ τῶν μετοχῶν σύμφωνα; Δύο, τὸ ν καὶ τὸ ς , οἷον τύπτων τύψας. Διὰ τί εἰσι δύο; Διότι καὶ τοῦ ῥήματος τὰ αὐτά ἐστιν, οἷον ἔτυπτον ἔτυψας. — Τί τὸ ἴδιον τῆς μετοχῆς; Τὰ παρεπόμενα αὐτῆς, ὡς καὶ 〈ἐπὶ〉 τῶν λοιπῶν τοῦ λόγου μερῶν τὰ παρεπόμενά ἐστιν ἑκάστου τὸ ἴδιον. —Διὰ τί ἐπενοήθη ἡ μετοχή; Ἵνα συγκλιθῇ τὸ ὄνομα τῷ ῥήματι καὶ τὸ λεῖπον τοῦ ῥήματος ἀναπληρωθῇ, καὶ διότι τὸ μὲν ὄνομα οὐσίαν σημαίνει, τὸ δὲ ῥῆμα συμβεβηκὸς ἤτοι πρᾶγμα, οἷον τύπτω γράφω· τὰ ῥήματα γοῦν ἅτε πράγματα σημαίνοντα καὶ μὴ ἔχοντα πτώσεις οὐ δύνανται χωρὶς τούτων κλίνεσθαι, καὶ διὰ τοῦτο ἐπενοήθη ἡ μετοχή. —Πόσα παρέπεται τῇ μετοχῇ; Ὀκτώ· γένη, εἴδη, σχήματα, ἀριθμοί, πτώσεις, διαθέσεις, χρόνοι καὶ συζυγίαι. Καὶ διὰ τί ἡ μετοχὴ οὔτε πρόσωπα ἔχει οὔτε ἐγκλίσεις πεσοῦσα ἐκ τῶν προσώπων; Ὅτι εἰ θέλημα ψυχῆς ἐστιν ἡ ἔγκλισις, πῶς δύναται βούλημα ψυχῆς ἄνευ προσώπου εἶναι; ἐκπεσοῦσα γὰρ τῶν ῥημάτων καὶ μετενεχθεῖσα ἐπὶ τὴν ὀνοματικὴν κατάληξιν ἐξέπεσε καὶ ἐκ τῶν προσώπων· προσώπων δὲ μὴ ὄντων οὔτε ἔγκλισις δύναται εἶναι· τὸ γὰρ ὄνομα ἔχει τὰ γένη, τὰ εἴδη, 〈τὰ σχήματα〉 , τὰς πτώσεις καὶ τοὺς ἀριθμούς, τὸ δὲ ῥῆμα τοὺς χρόνους, τὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διαθέσεις, τὰς συζυγίας. Πόσα γένη; Τρία, ὅσα καὶ τοῦ ὀνόματος. Πόσα εἴδη; Δύο, ὅσα καὶ τοῦ ὀνόματος. Πόσα σχήματα; Τρία ἁπλοῦν, σύνθετον, παρασύνθετον· ἁπλοῦν μέν, ὡς ἀρδόμενος, σύνθετον δέ, ὡς ἀρδευόμενος, παρασύνθετον δέ, ὡς ἐπαρδευόμενος ἀνταγωνιζόμενος. Πόσοι ἀριθμοί; Τρεῖς· ἑνικός, δυϊκός, πληθυντικός· ἑνικὸς μέν, οἷον ὁ τυπτόμενος, δυϊκὸς δέ, οἷον τὼ τυπτομένω, πληθυντικὸς δέ, ὡς οἱ τυπτόμενοι. Πόσαι πτώσεις; Πέντε, ὅσαι καὶ τοῦ ὀνόματος. Πόσαι διαθέσεις; Τρεῖς, ὅσαι καὶ τοῦ ῥήματος, ἤγουν ἐνέργεια, πάθος, μεσότης· ἐνέργεια μέν, οἷον τύπτων, πάθος δέ, οἷον τυπτόμενος, μεσότης δέ, οἷον τυψάμενος. Πόσοι χρόνοι; Τρεῖς· ἐνεστώς, παρεληλυθώς, μέλλων· ἐνεστὼς μέν, οἷον τύπτων, παρεληλυθὼς 〈δέ〉 , ὁ τετυφώς, ὁ τυφθείς, μέλλων δέ, ὁ τύψων, ὁ τυψόμενος. Πόσαι συζυγίαι τῆς μετοχῆς; Δεκατρεῖς· ὁ τύπτων, ὁ πλέκων, ὁ ᾄδων, ὁ ὁρίζων, ὁ νέμων, ὁ ἀκούων, ὁ ποιῶν, ὁ βοῶν, ὁ χρυσῶν, ὁ τιθέμενος, ὁ ἱστάμενος, ὁ διδόμενος, ὁ ζευγνύμενος. § 16 (20b). Περὶ ἄρθρου. Ἔφασάν τινες δεῖν τοῦ ἄρθρου etc. = Σ h 73, 29—74, 8. Τί ἐστιν ἄρθρον; Μέρος λόγου πτωτικὸν προτασσόμενον τῆς κλίσεως τῶν ὀνομάτων καὶ ὑποτασσόμενον. Τί σημαίνουσι τὰ ἄρθρα; Προεγνωσμένου τινὸς ἀναπόλησιν· λέγοντες γάρ «ἄνθρωπος εἶπεν» ἄδηλόν τινα ἄνθρωπον λέγομεν, λέγοντες δέ «ὁ ἄνθρωπος εἶπε» προδεδηλωμένον τινὰ λέγομεν. Τί ἐστιν ἴδιον ἄρθρου; Ἐγνωσμένου πράγματος ἀναπόλησις ἢ ἀνάμνησις· ἐὰν γὰρ εἴπω ὅτι «ναῦς ἦλθεν», ἀγνοεῖ ὁ ἀκροατής, ποίαν λέγω, εἰπὼν δὲ «ἡ ναῦς» ἔγνωσται πάντως, ὡς ἡ προεγνωσμένη ἐστίν.

418 —Ἄλλως. Τί ἐστιν ἴδιον ἄρθρου; Τὸ δευτέραν γνῶσιν σημαίνειν· ἐὰν γὰρ εἴπω ὅτι «Ἰωάννης ἦλθεν ἀπὸ τοῦ κυνηγεσίου», δοκεῖ μοι ἀγνοεῖν ποῖος· ἐὰν δὲ σὺν τῷ ἄρθρῳ τεθῇ, εἰς γνῶσίν μοι παραλαμβάνεται ἡ τοιαύτη λέξις τοῦ ὀνόματος καὶ νοῶ, ὅτι ὁ Ἰωάννης ἦλθεν ἀπὸ τοῦ κυνηγεσίου. —Διὰ τί προτέτακται τὸ ἄρθρον τῆς ἀντωνυμίας; Ἄνω προεγράφη. —Πόθεν ἄρθρον; Ἀπὸ τοῦ ἄρω, ὃ δηλοῖ τὸ ἁρμόζω, ἁρμόζεται γὰρ τοῖς πτωτικοῖς ὀνόμασι, μετοχαῖς τε καὶ ἀντωνυμίαις καὶ οὐδέποτε χωρὶς αὐτῶν εὑρίσκεται. —Ἄλλως. Πόθεν ἄρθρον; Ἀπὸ τοῦ διαρθροῦν ἀναφορικῶς τὴν προϋποκειμένην γνῶσιν, προτασσόμενον καὶ ὑποτασσόμενον· καὶ ἔστι προτακτικὸν μὲν ὁ, ὑποτακτικὸν δὲ ὅς. —Πόθεν ἐτυμολογεῖται ἄρθρον; Ἀπὸ τοῦ συναρτᾶσθαι τοῖς ὀνόμασι καὶ ταῖς πτώσεσι καὶ μηδέποτε δίχα αὐτῶν εὑρίσκεσθαι. Ἄρθρον ἐστὶ μέρος λόγου συναρτώμενον πτωτικοῖς κατὰ παράθεσιν προτακτικῶς ἢ ὑποτακτικῶ ς.] Ἄρθρον ἐστὶ μέρος λόγου πτωτικόν, ἀντὶ τοῦ πτώσεις ἐν ἑαυτῷ ἔχον, προτασσόμενον καὶ ὑποτασσόμενον τῆς κλίσεως τῶν ὀνομάτων· καὶ προτακτικὸν μὲν «ὁ ἄνθρωπος», ὑποτακτικὸν δὲ «ἄνθρωπος ὅς»· καὶ ἔστι προτακτικὸν μὲν ὁ, ὑποτακτικὸν δὲ ὅς. Δεῖ γινώσκειν, ὅτι τὸ ὦ τῆς κλητικῆς οὐκ ἔστιν ἄρθρον ἀλλὰ κλητικὸν ἐπίρρημα· δασύνεται δὲ καὶ τὸ ὁ καὶ τὸ ἡ καὶ τὰ τῶν πληθυντικῶν. Πόσα παρέπεται τῷ ἄρθρῳ; Τρία· γένη, ἀριθμοί, πτώσεις. Πόσα γένη; Τρία· ἀρσενικόν, θηλυκόν, οὐδέτερον· ὁ ποιητής μὲν ἀρσενικόν, ἡ ποίησις δὲ θηλυκόν, τὸ ποίημα δὲ οὐδέτερον. Πόσοι ἀριθμοί. Τρεῖς· ἑνικός, δυϊκός, πληθυντικός. Πόσαι πτώσεις; Τέσσαρες, ἐπειδὴ τὰ ἄρθρα κλητικὰς οὐκ ἔχουσιν· οὐδεὶς γὰρ τὸν ἀπόντα καλεῖ· εὑρίσκονται δὲ αἵ τε πτώσεις τοῦ ἄρθρου καὶ οἱ ἀριθμοὶ κρειττόνως μὲν μετὰ τῶν πτωτικῶν ἢ καθ' ἑαυτά. Παρέπεται τῷ ἄρθρῳ τρί α , γέν η , ἀριθμο ί , πτώσει ς.] Ὡς συναρτώμενον τοῖς πτωτικοῖς τὸ ἄρθρον καὶ τὰ τούτων ἔσχε παρεπόμενα· καὶ ὥσπερ τῶν ὀνομάτων τρία γένη λέγομεν, ἀρσενικὸν μὲν ὁ σοφός, θηλυκὸν δὲ ἡ σοφή, οὐδέτερον δὲ τὸ σοφόν, οὕτω καὶ τῶν ἄρθρων τὰ ἰσάριθμα γένη, ἀρσενικὸν μὲν γένος ὁ, θηλυκὸν δὲ ἡ, οὐδέτερον δὲ τό· καὶ ὥσπερ πάλιν ἐν ὀνόμασιν ἀριθμοὺς λέγομεν τρεῖς, ἑνικὸν μὲν ἀρσενικὸν καλός, δυϊκὸν δὲ καλώ, πληθυντικὸν δὲ καλοί, καὶ ἐπὶ τῶν θηλυκῶν καὶ οὐδετέρων ὁμοίως, οὕτω καὶ τῶν ἄρθρων τρεῖς φαμεν εἶναι ἀριθμούς, καὶ ἔστιν ἑνικὸς μὲν ἀρσενικὸς ὁ, δυϊκὸς δὲ τώ, πληθυντικὸς δὲ οἱ, καὶ θηλυκῶν δὲ 〈καὶ οὐδετέρων〉 ὁμοίως· καὶ ὥσπερ ἐν ὀνόμασι πτώσεις πέντε, οὕτω καὶ 〈ἐν〉 τῷ ἄρθρῳ, ὁ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ τόν ὦ. Γένη μὲν οὖ ν , ὁ ποιητή ς , ἡ ποίησι ς , τὸ ποίημ α.] Εἰπὼν ὁ ποιητής ἐσήμανεν ἀρσενικὸν γένος, ἡ ποίησις δὲ θηλυκόν, τὸ ποίημα δὲ οὐδέτερον· καὶ ἔδειξεν, ὅτι τὸ ἄρθρον πτωτικοῖς συναρτᾶται.

419 Ἀριθμοὶ τρεῖ ς , ἑνικό ς , δυϊκό ς , πληθυντικός · ἑνικὸς μὲν ὁ ἡ τ ό , δυϊκὸς δὲ τώ τ ά , πληθυντικὸς δὲ οἱ αἱ τ ά.] — 〈Heliodori.〉 —Ἀριθμὸς ἑνικὸς ἀρσενικοῦ ἄρθρου ὁ, θηλυκοῦ ἡ, οὐδετέρου τό· ἀριθμὸς δυϊκὸς ἀρσενικοῦ ἄρθρου τώ, θηλυκοῦ τά, οὐδετέρου τώ· ἀριθμὸς πληθυντικὸς ἄρθρου ἀρσενικοῦ οἱ, θηλυκοῦ αἱ, οὐδετέρου τά. Πτώσεις δὲ ἀρσενικοῦ μὲν ὁ τοῦ τῷ τόν ὦ, τώ τοῖν ὦ, οἱ τῶν τοῖς τούς ὦ· θηλυκῶν δὲ ἡ τῆς τῇ τήν ὦ, τά ταῖν ὦ, αἱ τῶν ταῖς τάς ὦ· οὐδετέρων δὲ τό τοῦ τῷ τό ὦ, τώ τοῖν ὦ, τά τῶν τοῖς τά ὦ. 〈Φασὶ δέ τινεσ〉 τὸ ὦ τῆς κλίσεως ταύτης [τὸ] ἄρθρον οὐκ εἶναι κλητικῆς πτώσεως, ὥς φησιν ὁ τεχνογράφος, ἀλλ’ ἐπίρρημα μᾶλλον σχετλιασμοῦ καὶ ἀνακλήσεως εἶναι, καὶ μὴ ἄρθρον εἶναι· καὶ κατασκευάζουσιν οὕτως· πᾶν ἄρθρον διακριτικόν ἐστιν ἀριθμοῦ· τὸ μέντοι τῆς κλητικῆς προτασσόμενον ὦ 〈ἀριθμὸν〉 οὐ διακρίνει, ἀλλ’ ὁμοίως ἐπὶ τῶν τριῶν λέγεται ἀριθμῶν. Καὶ ἕτερον κατασκευαστικὸν τοῦ μὴ εἶναι ἄρθρον τὸ ὦ· πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται, τοῦτο δὲ οὐ δασύνεται φωνῆεν ὄν· οὐκ ἄρα ἄρθρον ἐστί. Καὶ καθ’ ἕτερον δὲ πάλιν λόγον· τῶν ἄλλων ἄρθρων ἔνια γένος διακρίνει, ἀρσενικὸν μὲν τὸ ὁ ἄρθρον καὶ τὸ τόν· τὰ γὰρ τῆς γενικῆς καὶ τῆς δοτικῆς ἄρθρα κοινά εἰσιν ἀρσενικῶν καὶ οὐδετέρων, ὡς γὰρ τοῦ Ὁμήρου καὶ τοῦ παιδίου, καὶ ὡς τῷ Ὁμήρῳ καὶ τῷ παιδίῳ· τὸ μέντοι τῆς εὐθείας ἄρθρον καὶ τῆς αἰτιατικῆς ἴδια ἀρσενικοῦ γένους ἐστί· τὸ μέντοι ὦ ἀδιάκριτόν ἐστι τῶν τριῶν γενῶν, καὶ κατὰ τοῦτον οὖν τὸν λόγον οὐκ ἔστι πτώσεως κλητικῆς τὸ ἄρθρον, ἀλλ’ ἐπίρρημα σχετλιασμοῦ καὶ ἀνακλήσεως. Καὶ κατ’ ἄλλον ὁμοίως· πᾶσα γὰρ κλητικὴ 〈ἢ〉 ἴση ἐστὶ τοῖς χρόνοις τῇ εὐθείᾳ ἢ ἐλάττων, ἴση μὲν ἐν τῷ Πέλοψ ὦ Πέλοψ, Πάρις ὦ Πάρι, ἐλάττων δὲ 〈ἐν τῷ〉 Ἀγαμέμνων ὦ Ἀγάμεμνον, τὸ μὲν γὰρ μακρὸν ἔχει 〈τὸ ω 〉, τὸ δὲ 〈βραχὺ τὸ〉 ο · πῶς οὖν οἷόν τε τούτου ἀποδειχθέντος τὸ ὦ τῆς κλητικῆς εἶναι πτώσεως, τῆς ὁ βραχείας εὐθείας οὔσης; μείζων γὰρ εὑρίσκεται ἡ κλητικὴ τῆς εὐθείας, ὅπερ ἐδείχθη ἐπὶ τῶν ἄλλων ἁπάντων ἀδύνατον. Τίνος χάριν τοῖς τεχνικοῖς ἐπινενόηται τὸ ἄρθρον; Ἔστιν οὖν εἰπεῖν, ὅτι τὸ ἄρθρον ἐπινενόηται πρὸς τὸ ἀναφορὰν σημαίνειν· ἀναφορὰ δέ ἐστιν, ὡς εἴρηται, ἀναπόλησις προεγνωσμένου καὶ ἀπόντος προσώπου· ἄλλο τι γάρ ἐστιν εἰπεῖν «ἄνθρωπος ἦλθε» καὶ ἄλλο «ὁ ἄνθρωπος ἦλθε» μετὰ ἄρθρου τοῦ ὁ, τὸ γὰρ ἄρθρον δευτέραν γνῶσιν ἐπαγγέλλεται.

420 Προτασσόμενον τῆς κλίσεως τῶν ὀνομάτων καὶ ὑποτασσόμενο ν.] Ἐνδεῶς εἶπεν ἐνταῦθα ὁ τεχνικός· οὐ [κατὰ] μόνων γὰρ τῶν ὀνομάτων προτάσσεται τὰ ἄρθρα, ἀλλὰ καὶ πάντων ὁμοῦ τῶν κλίνεσθαι εἰς πτώσεις δυναμένων· καὶ γὰρ καὶ μετοχῶν καὶ ἀντωνυμιῶν προτάσσεται. Τοῦτο δὲ τὸ ἄρθρον, ὥς φησιν αὐτὸς ὁ τεχνικός, ἔστι καὶ προτακτικὸν καὶ ὑποτακτικόν· καὶ προτακτικὸν μέν ἐστιν, ὃ προτάσσεταί τινος πτωτικῆς γραφῆς, τὸ δὲ ὑποτακτικόν, ὅπερ ὑποτάσσεται τῷ ὀνόματι. Καὶ πολλάκις τὸ αὐτὸ τῷ προτακτικῷ ἐστι, πολλάκις δὲ καὶ προσλαμβάνει τι· οἷον εἰπεῖν προτακτικὸν μέν ἐστι τὸ ὁ, οἷον «ὁ Ὅμηρος ὁ ποιήσας τὴν Ἰλιάδα»· ἰδοὺ τὸ αὐτὸ τῷ προτακτικῷ ἐστι τὸ ὑποτακτικόν, ὁ γὰρ καὶ ὁ· ὅταν 〈δὲ〉 μίαν πτῶσιν ἐπαγγέλλωνται, οὐχ ὁμοίαν δέ, ἄλλο 〈τι〉 προσλαμβάνει, ὡς «ὁ Ὅμηρος ὃς ἦν πᾶς βέλτιστος τῶν ποιητῶν»· ἰδοὺ πρό 〈σ〉 θεσιν τοῦ ς ἐνταῦθα· μεταβαίνει δὲ εἰς ἑτέραν πτῶσιν, ὡς ἐὰν εἴπω «ὁ Ὅμηρος ᾧ τὴν μουσικὴν ἡ Καλλιόπη ἐχαρίσατο»· τὰ γὰρ ὑποτακτικὰ ἄρθρα οὐ πάντως [ὅτι] ἀκολουθεῖ τοῖς προτακτικοῖς, ἀλλὰ ἰδικήν τινα σύνταξιν τῶν ῥημάτων τηρεῖ. Καὶ ἔστι προτακτικὸν μὲν ὁ , ὑποτακτικὸν δὲ ὅ ς , οἷον ὁ ἄνθρωπος ἦλθ ε.] Χρὴ δὲ εἰδέναι ὅτι τὰ μὲν προτακτικὰ καταλλήλως προτίθενται τῶν πτωτικῶν, τὰ δὲ ὑποτακτικὰ ἔσθ’ ὅτε καὶ ἐν διαφόρῳ πτώσει. Ἰστέον ὅτι καὶ κατὰ τόνον καὶ κατὰ πτῶσιν καὶ κατὰ γραφὴν ἀκόλουθά ἐστι τὰ ἄρθρα, ὑπεξαιρουμένου τοῦ ὦ, περὶ οὗ λεχθήσεται ἰδίᾳ, ὡς οὐκ ἔστιν ἄρθρον ἀλλ’ ἐπίρρημα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Γινώσκειν γὰρ χρή, ὅτι τὰ ἄρθρα τετράπτωτά ἐστι, πάντως τῆς κλητικῆς μὴ δεχομένης ἄρθρον· τὸ μὲν γὰρ ἄρθρον μνήμην προεγνωσμένου καὶ ἀπόντος προσώπου ποιεῖται, ἡ κλητικὴ δὲ πρὸς δεύτερον καὶ παρὸν πρόσωπον ποιεῖται τὸν λόγον· πῶς οὖν οἷόν τέ ἐστιν ἀπόντος μνημονεύεσθαι ὡς παρόντος καὶ καλεῖν; Ὅτι δὲ οὐκ ἔχει ἡ κλητικὴ ἄρθρον, καὶ ἄλλως πως δυνατὸν γνωσθῆναι· οὐδέποτε γὰρ τὸ αὐτὸ ἐν τοῖς κατὰ τάξιν ἀριθμοῖς εὑρίσκεται, τοῦτο δὲ ἀεί. Ἰστέον ὅτι ἐν πολλοῖς ἐλέγχεται τὸ ὦ μὴ ὂν ἄρθρον, ἀπὸ τάξεως, ἀπὸ πνεύματος, ἀπὸ τόνου, ἀπὸ χρόνου. Ἀπὸ πνεύματος μέν· πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται, τοῦτο δὲ ψιλοῦται· ἀπὸ τάξεως δὲ οὕτως· πᾶν ἄρθρον ἢ προτακτικόν ἐστιν ἢ ὑποτακτικόν. .... Ἀπὸ χρόνου δέ· οὐδέποτε ἡ κλητικὴ μείζων ἐστὶ τῆς ἰδίας εὐθείας, ἀλλ' ἢ ἴση ἐστὶν ἢ ἐλάττων· ἴση μέν, ὁ Λάχης ὦ Λάχης, ἥττων δέ, ὁ Μενέλαος ὦ Μενέλαε· φασὶ γὰρ ἐντεῦθεν, ὅτι βραχύτερόν ἐστι τὸ ε τοῦο · καὶ ἐπὶ τῶν τριῶν ἀριθμῶν λαμβάνεται καὶ μείζων ἐστὶ τῆς ἰδίας εὐθείας, καὶ οὔτε ἴση οὔτε ἐλάττων, ἀλλὰ περισπᾶται.

421 Κατὰ πάσας οὖν αἰτίας ἐκβάλλεται τῆς τῶν ἄρθρων ἀναλογίας. Εἰ δὲ ὁ τεχνικὸς κατέταξεν ἐν τῇ ἀπαριθμήσει τὸ ὦ, ὡς πρὸς εἰσαγομένους γράφων κατέταξεν, ὡς μηδὲν περιεργαζόμενος. Ἀπὸ 〈πνεύματος ἐλέγχεται τὸ ὦ μὴ ὂν ἄρθρον καὶ ἀπὸ〉 τόνου· ἀεὶ γὰρ ἡ κλητικὴ τὸ πνεῦμα τῆς ὀρθῆς τηρεῖ, καὶ πάλιν οὐδέποτε πτωτικὸν ω περισπᾶται· εἰ δὲ τοῦτο περισπᾶται, οὐκ ἄρα ἐστὶν ἄρθρον· ἄλλως τε οὐδέποτε ἄρθρον ἑνικὸν κατὰ τρία γένη συνεμπίπτει· καὶ τὸ δηλούμενον ἐναντίον· πρὸς παρὸν γὰρ πρόσωπον τὸ ὦ, τὸ δὲ ἄρθρον ἀναφορὰν δηλοῖ, ἥτις ἐστὶν ἀναπόλησις, ἡ δὲ ἀναπόλησις ὡς ἀπουσίαν ὑπαγορεύει. Τί γοῦν ἐστι; Κλητικὸν ἐπίρρημα πτώσει συναρτώμενον, ὡς τὸ μά, τὸ νή τῇ αἰτιατικῇ καὶ τὸ χωρίς νόσφιν ἐκτός γενικῇ. Πόσα ἄρθρα; Προτακτικὰ δέκα, ὁμοίως καὶ ὑποτακτικὰ δέκα. Διὰ τί εἰσι δέκα; Διότι τὰ τῶν κλητικῶν πτώσεων οὐκ ἄρθρα 〈εἰσίν〉 , ἀλλ' ἐπιρρήματα κλητικά. Καὶ πῶς; Δείξομεν αὐτὸ ἐκ πολλῶν· πρῶτον μέν, ὅτι οὐδὲ ἡ κλητικὴ κυρίως πτῶσις, ἀλλὰ καταχρηστικῶς, δευτέρου προσώπου οὖσα σημαντική, τῶν ἀπὸ τῆς εὐθείας πτώσεων τρίτου προσώπου δηλωτικῶν οὐσῶν, οἷον ὁ Αἴας, τοῦ Αἴαντος, τῷ Αἴαντι, τὸν Αἴαντα· ἰδοὺ γὰρ 〈ὁ〉 λόγος ἔοικεν ὡς περὶ ἀπόντος Αἴαντος λέγειν, ὃς οὔτε λέγει οὔτε ἀκούει τοῦ λόγου περὶ αὐτοῦ γινομένου· ἡ δὲ κλητικὴ ὦ Αἶαν ὡσανεὶ τὸν ἀκούοντα καλεῖ, ὅπερ ἐστὶ δευτέρου προσώπου δηλωτικόν. Δεύτερον ὅτι πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται, τὸ δὲ ὦ τῆς κλητικῆς ψιλοῦται. Τρίτον ὅτι τὰ προτακτικὰ ἢ πνεύματα ἢ τόνους ἐπιδέχεται, τὰ δὲ ὑποτακτικὰ καὶ πνεύματα καὶ τόνους· πνεύματα δὲ δασέα ἐπιδέχονται καθόλου τὰ ἄρθρα, τὸ δὲ τῆς κλητικῆς ὦ τὸ ψιλὸν ἔχει πνεῦμα, ὅπερ οὐκ ἔστιν ἄρθρου, καὶ τόνον τὴν περισπωμένην· ψιλούμενον οὖν καὶ περισπώμενον οὐκ ἔστιν ἄρθρον, ἀλλὰ κλητικὸν ἐπίρρημα, καίπερ τοῖς προτακτικοῖς συντεταγμένον. Τέταρτον δὲ ὅτι τὰ μὲν ἄρθρα διακρίνουσι τὰ γένη καὶ τοὺς ἀριθμούς, τὸ δὲ τῆς κλητικῆς ὦ οὔτε γένος οὔτ' ἀριθμὸν διακρίνει, ἀλλὰ τὸ αὐτό ἐστιν ἐν τοῖς τρισί. Πέμπτον δὲ ὅτι πᾶν ἄρθρον τρίτου προσώπου ἐστὶ καὶ οὐχὶ δευτέρου, τὸ δὲ τῆς κλητικῆς 〈ὦ〉 δεύτερον πρόσωπον διακρίνει καὶ σημαίνει. Ἕκτον ὅτι πᾶσα κλητικὴ τὸν ἴσον χρόνον θέλει ἔχειν τῇ ἰδίᾳ εὐθείᾳ ἢ ἐλάττονα, οὐδέποτε δὲ μείζονα· μείζονα γοῦν ἔχον χρόνον τὸ ὦ τῆς κλητικῆς τῆς εὐθείας οὐκ ἔστιν ἄρθρον, ἀλλ' ἐπίρρημα. Δέον εἰδέναι ὅτι τὰ προτακτικὰ ἄρθρα ὀνόμασιν ἁρμόζεται καὶ συναρτᾶται, τὰ δὲ ὑποτακτικὰ ῥήματα ζητεῖ οἷς συναρτηθήσεται, οἷον 〈ubi?〉 «τὸ βῆμα ὃ ζητῶ τῆς πόλεώς ἐστιν ἧς εἰμι ἐγώ», «τῷ πολίτῃ ζητούμενον ᾧ συνέστη», «τὴν πόλιν ἣν φιλεῖ», καὶ «τῷ λέγειν σῴζειν ἐθέλοντες οἱ Ἀθηναῖοι οἳ δοθήσεσθε δότε», «τῶν σωτηρίων ὑμῶν ἐγὼ φροντιστὴς ὧν οὐδὲν ἐμοί», «τοῖς πολίταις χαρίζομαι οἷς ἐθέλω συνεῖναι μεθ' ἡδονῆς», «τοὺς Ἀθηναίους ζητῶ σῴζεσθαι οὓς διδάσκει λόγος συναχθῆναι χεῖρα κινεῖν»· ὅρα καὶ σκόπει, πῶς ἐν παντὶ τῷ παρόντι λόγῳ τὰ προτακτικὰ ἄρθρα συνήρτηνται τοῖς ὀνόμασι, τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ ὑποτακτικὰ οἷς ζητοῦσι συνήρτηνται ῥήμασι, καὶ πᾶσι προσσχὼν τοῦτον 〈ἂν〉 εὕροις τὸν λόγον.

422 Σημείωσαι ὅτι τὰ ὑποτακτικὰ ἄρθρα ποτὲ καὶ ἀντωνυμίαν σημαίνουσι, ναὶ μὴν καὶ τὰ προτακτικὰ στερούμενα τῶν ὑποτεταγμένων αὐτοῖς ὀνομάτων 〈καὶ〉 καθ’ ἑαυτὰ ἐκφερόμενα σφοδρότερον καὶ ἐκφωνοῦνται καὶ εἰς ἀντωνυμικὴν σημασίαν τρέπονται, μήτε τὰ προτακτικὰ ὀνόμασι συναρτώμενα, μήτε τὰ ὑποτακτικὰ ῥήμασιν. Ἰστέον ὅτι ἡνίκα τὸ ἄρθρον ἀποβάλῃ τὴν πρὸς τὰ πτωτικὰ συνάρτησιν, ἀντωνυμία γίνεται, οἷον 〈Α 12〉 ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν καὶ 〈Ε 292〉 τοῦ δ ’ ἀπὸ μὲν γλῶσσαν 〈πρυμνὴν〉 τάμε χαλκός, καὶ 〈Ε 603〉 τῷ δ ’ αἰεὶ πάρα εἷς γε θεῶ ν· ἐν τούτοις γὰρ 〈οὐ〉 συναρτώμενόν τινι πτωτικῷ ἀντὶ ἀντωνυμίας λαμβάνεται. Πόθεν γίνεται τὸ ὁ ἄρθρον προτακτικὸν ἑνικὸν τῶν ἀρσενικῶν ὀνομάτων; Ἐκ τοῦ τός ἀρσενικοῦ Δωρικοῦ, καὶ ἵνα μὴ συνεμπέσῃ τῇ τός Δωρικῇ ἀντωνυμίᾳ, ἀποβολῇ τοῦ τ γέγονεν ὅς· καὶ ἵνα μὴ συνεμπέσῃ τῷ ὅς ἀντωνυμικῷ ὑποτακτικῷ ἄρθρῳ, ἀποβολῇ τοῦ ς γίνεται ὁ. Πόθεν γίνεται τὸ τοῦ ἄρθρον; Ἐκ τοῦ τός ἀρσενικοῦ Δωρικοῦ γίνεται ἡ γενικὴ τοῦ. Πόθεν γίνεται τὸ τῷ ἄρθρον; Ἐκ τοῦ τός ἀρσενικοῦ Δωρικοῦ, οὗ ἡ γενικὴ τοῦ, καὶ ἡ δοτικὴ τῷ, καὶ ἡ αἰτιατικὴ τόν· καὶ ἐκ τοῦ τοῦ ἀφαιρέσει τοῦ τ γίνεται οὗ, καὶ ἡ δοτικὴ ᾧ, καὶ ἡ αἰτιατικὴ ὅν, ἅτινά εἰσιν ὑποτακτικὰ ἄρθρα· ὡσαύτως καὶ τὰ δυϊκὰ καὶ τὰ πληθυντικά. — Πόθεν γίνεται τὸ ἡ θηλυκὸν ἄρθρον εὐθείας τῶν ἑνικῶν; Ἀπὸ τοῦ τός ἀρσενικοῦ Δωρικοῦ γέγονε τὸ θηλυκὸν τή, καὶ ἀφαιρέσει τοῦ τ ἡ· καὶ δασύνεται· τὰ γὰρ κατὰ ἀφαίρεσιν ψιλοῦ δασύνεται· ὡσαύτως καὶ τὸ τῆς καὶ τὸ τῇ καὶ 〈τὸ〉 τήν, ἅπερ κατὰ ἀφαίρεσιν τοῦ τ γίνεται ἥ ἧς ᾗ ἥν ὑποτακτικὰ ἑνικὰ θηλυκὰ ἄρθρα· ὡσαύτως καὶ τὰ δυϊκὰ καὶ τὰ πληθυντικά. —Πόθεν γίνεται τὸ τό ἄρθρον τῶν οὐδετέρων ὀνομάτων τοῦ ἑνικοῦ ἀριθμοῦ; Ἐκ τοῦ τός ἀρσενικοῦ Δωρικοῦ ἀποβολῇ τοῦ ς γίνεται τό, ἀφ’ οὗ καὶ τἆλλα. —Πόσα ἄρθρα ὑποτακτικὰ τῶν ἀρσενικῶν ὀνομάτων; Δέκα· ἑνικὰ μὲν ὅς οὗ ᾧ ὅν, δυϊκὰ δὲ ὥ οἷν, πληθυντικὰ δὲ οἵ ὧν οἷς οὕς. Καὶ διὰ τί εἰσι δέκα; Διότι κλητικὰς οὐκ ἔχουσι. Καὶ διὰ τί οὐκ ἔχουσιν; Ἐπειδὴ οὐδεὶς τὸν ἀπόντα καλεῖ. — Τί διαφέρει τὰ προτακτικὰ τῶν ὑποτακτικῶν; Ὅτι τὰ μὲν προτακτικὰ ἢ πνεύματα ἢ τόνους ἐπιδέχονται, τὰ δὲ ὑποτακτικὰ καὶ πνεύματα καὶ τόνους. Καὶ ταῦτα μὲν περὶ ἄρθρου· φέρε δὴ εἴπωμεν καὶ περὶ ἀντωνυμίας. § 17 (21 et 22b). Περὶ ἀντωνυμίας. Εὐλόγως τέτακται μετὰ τὸ ἄρθρον etc. = Σ h 76, 30—77, 16. Καὶ ἐλύθη τὸ ἀδύνατον τὸ «Γεώργιος ἐποίησα» καὶ «Γεώργιος ἐποίησας», ὥσπερ καὶ ἡ μετοχὴ ἀνθυπεισῆλθεν ἀντὶ ῥήματος· βουλομένων γὰρ ἡμῶν κλῖναι τὰ ῥήματα μετὰ τῶν ὀνομάτων καὶ μὴ δυναμένων, εὐθέως ἐπεισέρχεται ἡ μετοχὴ χαριζομένη τοῖς ῥήμασι πτώσεις, οἷον «Θέωνος τύπτοντος, Θέωνι τύπτοντι», καὶ οὐ λέγομεν «Θέωνος τύπτει» ἢ «Θέωνι τύπτει», ὅπερ ἀδύνατον.

423 Ἀντωνυμία ἐστὶ λέξις etc. = Σ h 77, 17—20 et 24—26. Ζητοῦσι δέ τινες εὐλόγως παραβαλλόμενοι etc. = Σ v 258, 31 —259, 23. Ἰστέον ὅτι ἀντωνυμία καλεῖται αὐτὸ etc. = Σ h 77, 21—23 et 77, 27—78, 10. Ἰστέον δὲ ὅτι τοῦτο μόνον etc. = Σ v 259, 24—29. Ἰστέον ὅτι ἡ ἀντωνυμία τὴν χρείαν ἀποπληροῖ τοῦ ὀνόματος· τὸ γὰρ ἐγώ εἰπὼν οὐ χρήζω προσθεῖναι καὶ τὸ ὄνομα· καὶ ἑκάστη δὲ λέξις τῆς ἀντωνυμίας ἐξαρκεῖ, καὶ μὴ προστιθεμένου τοῦ ὀνόματος, σημαίνειν τὸ τίς. Καὶ τῷ ἐκεῖνος πάλιν, ἐὰν μὲν ἀπῇ, τότε προστίθημι τὸ ὄνομα, ἐὰν δὲ παρῇ, καὶ ἄνευ τοῦ ὀνόματος δηλῶ τὸ πρόσωπον τὸ ὡρισμένον. Πάλιν δὲ ἰστέον ὅτι τῶν ἀντωνυμιῶν etc. = Σ v 261, 1—13; 260, 21—24; 261, 14—26; 260, 25—29; 260, 4—11. Πρόσωπα τῶν πρωτοτύπων ἀντωνυμιῶν. — Προειρήκαμεν ἤδη etc. = Σ h 78, 27—31 (ῥήματος); 79, 25—80, 25 (πτώσεις); 81, 9—13; 81, 35—82, 5; 82, 15—24; 83, 2—10. Ζητητέον δὲ διὰ τί αἱ ἀντωνυμίαι etc. = Σ v 262, 4—11. Ἰστέον ὅτι ἡ σφωΐν etc. = Σ h 84, 3—6 et 14 seq; 86, 1—15 (ἕ). Γένη τῶν μὲν πρωτοτύπων ἀντωνυμιῶν διὰ μὲν τῆς φωνῆς οὐ διακρίνετα ι.] Καλῶς οὖν εἶπεν, ὅτι διὰ μὲν τῆς φωνῆς οὐ διακρίνεται τὰ γένη ἐν ταῖς πρωτοτύποις ἀντωνυμίαις· τὸ γὰρ ἐγώ σύ ἐμοῦ καὶ σοῦ ἐπὶ τῶν τριῶν γενῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγεται. Μόναι δὲ αἱ παράγωγοι διὰ τῆς φωνῆς μόνης σημαίνουσι τὸ γένος καθ’ ἑκάστην πτῶσιν· λέγω γὰρ τὸ μὲν ἀρσενικὸν ὁ ἐμός, τὸ δὲ θηλυκὸν ἡ ἐμή, τὸ δὲ οὐδέτερον τὸ ἐμόν. [Ἰστέον δὲ ὅτι ἡ κλητικὴ οὐχ εὕρηται οὔτε ἐπὶ τῆς σός ἀντωνυμίας οὔτε ἐπὶ τῆς ὅς.] Ὡσαύτως καὶ ἐπὶ τοῦ τρίτου προσώπου [τοῦ ὅς] τὰ τρία γένη δηλοῦται καθ’ ἑκάστην πτῶσιν, εὐθεῖαν μὲν ὁ ἐκεῖνος ἡ ἐκείνη τὸ ἐκεῖνο, γενικὴν δὲ τοῦ ἐκείνου τῆς ἐκείνης τοῦ ἐκείνου, δοτικὴν δὲ τῷ ἐκείνῳ τῇ ἐκείνῃ τῷ ἐκείνῳ, αἰτιατικὴν δὲ τὸν ἐκεῖνον τὴν ἐκείνην τὸ ἐκεῖνο, κλητικὴν δὲ ὦ ἐκεῖνε ὦ ἐκείνη ὦ ἐκεῖνο.

424 Τῶν δὲ παραγώγω ν.] Ἀπὸ κοινοῦ etc. = Σ h 86, 19—87, 13. Παρέπεται δὲ τῇ ἀντωνυμίᾳ ἕ ξ , γέν η , εἴδ η , σχήματ α , ἀριθμο ί , πρόσωπ α , πτώσει ς.] Ὅσα παρέπεται τῷ ὀνόματι παρέπεται καὶ τῇ ἀντωνυμίᾳ, πλεονάζοντος τοῦ προσώπου· διὰ τοῦτο γὰρ ἀντὶ ὀνόματος τάσσεται ἡ ἀντωνυμία, ἵνα πληρώσῃ ἀντὶ ὀνόματος πρῶτον καὶ δεύτερον πρόσωπον, καθὸ οὐ λέγομεν «Θέων τύπτω» ἢ «Θέων τύπτεις», ἀλλ’ «ἐγὼ τύπτω, σὺ τύπτεις»· τὰ δὲ ὀνόματα τρίτου εἰσὶ προσώπου. Πρόσωπα πρωτοτύπων μὲν ἐγώ σύ ἵ.] Τῶν ἀντωνυμιῶν εἰς δύο διαιρουμένων etc. = Σ h 78, 19—79, 20; 86, 1—18. Τῶν δὲ παραγώγω ν , οἷον ὁ ἐμό ς , ἡ ἐμ ή , τὸ ἐμό ν.] Τῶν παραγώγων τὰ γένη διὰ τῆς φωνῆς διακρίνεται, ὁ ἐμός, ἡ ἐμή, τὸ ἐμόν, τῶν δὲ πρωτοτύπων διὰ τῆς δείξεως, καὶ οὐ διὰ τῆς φωνῆς. Ἰστέον δὲ ὅτι τὸ μὲν πρόσωπον ἐν τῷ ῥήματι τὸ τέλος κινεῖ, ἐνταῦθα δὲ τὴν ἀρχήν, ἐπειδὴ ἡ ἀντωνυμία δύο κλίσεις ἀναδεξαμένη, τὴν μὲν κατὰ πτῶσιν, τὴν δὲ κατὰ πρόσωπον, τὸ μὲν πρόσωπον κινούμενον ἐν τῇ ἀρχῇ δείκνυσι, τὴν δὲ πτῶσιν ἐν τῷ τέλει, διὸ καὶ τὸ ῥῆμα τὴν μὲν ἀρχὴν ἀπένειμε τοῖς χρόνοις, τὸ δὲ τέλος τοῖς προσώποις (cfr Σ h 87, 4—13). Ἀριθμοὶ πρωτοτύπων etc. = excerpta ex Σ h 87, 14—26. Ζητεῖται δὲ διὰ τί ἡ ἐμοί καὶ σοί ὀξύνεται, ἡ δὲ οἷ περισπᾶται· ἔδει γὰρ πάσας περισπᾶσθαι ὡς δοτικάς. Καὶ λέγομεν ὅτι διὰ τὸ 〈μὴ〉 ἐν παντὶ τὴν ἀκολουθίαν [αὐτῶν] ὑπάρχειν τῶν πρωτοτύπων· εἰσὶ δὲ καὶ ἀνακόλουθοι πρὸς ἀλλήλας αἱ πρωτότυποι ἀντωνυμίαι κατὰ πάσας τὰς πτώσεις. Ποία γὰρ ἀκολουθία ἀπὸ τῆς ἐγώ εὐθείας τῇ ἐμοῦ γενικῇ χρῆσθαι, ἢ ἀπὸ τῆς ἐμοῦ τῇ ἐμοί δοτικῇ; πᾶσα γὰρ εἰς τὴν ου λήγουσα γενικὴν τὴν δοτικὴν ἔχει ἢ εἰς ῳ ἢ εἰς ῃ ἢ εἰς ᾳ λήγουσαν, οἷον Γεωργίου Γεωργίῳ, Ἀτρείδου Ἀτρείδῃ, Γοργίου Γοργίᾳ· ἀσύμφωνον οὖν τὸ ἐμοί εἰς οὐδὲν τούτων καταλῆγον. Καὶ 〈ἡ〉 αἰτιατικὴ πάλιν ἡ ἐμέ ἀνακόλουθος τῇ δοτικῇ, ἐπειδὴ 〈ἡ δοτικὴ〉 εἰς οι λήγουσα τὴν αἰτιατικὴν ἔχει εἰς ε λήγουσαν. Πτώσεις δὲ πρωτοτύπων etc. = Σ h 87, 27—88, 2 (καλεῖ). Γενικῆς ἐμοῦ σοῦ οὗ. —Ἐπειδὴ etc. = Σ v 264, 16—25. Ἰστέον δὲ ὅτι κλητικὴν οὐκ ἔχει etc. = Σ h 87, 33—88, 7. Ἐπειδὴ ἡ κλητικὴ πρὸς δεύτερον πρόσωπον ποιεῖται τὸν λόγον, ἀναγκαίως δεύτερον πρόσωπον ἔσχηκεν …. .

425 .. Ὅτι δὲ οὔτε λόγου ἔχεται, ἀναλόγησαι τὸ [τῷ] ἑκάστῳ ἴδιον, φημὶ τῷ τε ἄρθρῳ καὶ τῇ ἀντωνυμίᾳ, καὶ εὑρήσεις ἐναντίον· τὸ μὲν γὰρ ἀνάμνησιν ἀπόντος προσώπου καὶ προεγνωσμένου, τουτέστι δευτέραν ἐπαγγέλλεται γνῶσιν, ἡ δὲ ἀντωνυμία δεῖξιν· ἐναντίον οὖν ἡ ἀναφορὰ τῇ δείξει. Πῶς οὖν ἐνδέχεται δύο ἐναντία ἐν ταὐτῷ γενέσθαι; (cfr Σ v 267, 31—268, 1). Παραγώγων δὲ ὀρθῆς ἐμός etc. = Σ h 88, 8—19. Ζητεῖται δὲ πῶς ποτὲ μὲν πρωτότυπον λέγει τὴν ἐμοῦ ἀντωνυμίαν καὶ τὴν σοῦ καὶ τὴν οὗ, ποτὲ δὲ παράγωγον. Πρὸς δὴ τοῦτο ἐκεῖνο ἔστιν εἰπεῖν, ὅτι αἱ γενικαὶ συνεμπίπτουσιν ἀλλήλαις· καὶ ὅτε μὲν πρωτότυπός ἐστιν ἡ ἐμοῦ, ἀσύναρθρός ἐστιν, οἷον «ἐμοῦ ἀπαντήσαντος εἰς διδασκάλου», ὅτε δὲ παράγωγος, τότε σύναρθρός ἐστιν, ὡς ὅταν λέγωμεν «τοῦ ἐμοῦ παιδός, τοῦ ἐμοῦ βιβλίου» καὶ τὰ ὅμοια. Σχήματα δύο etc. = excerpta ex Σ h 88, 20—90, 7. Σχήματα δύ ο.] Ἰστέον ὡς οὐδέποτε ἀντωνυμία μετὰ ἄλλου μέρους λόγου συντίθεται, εἰ μὴ μεθ’ ἑαυτῆς, πλὴν τῆς αὐτός· αὕτη γὰρ συνετέθη μετὰ ἄλλων μερῶν λόγου, οἷον αὐτόσσυτος αὐτόματος αὐτοδίδακτος (cfr Σ v 266, 20—22). Ἰστέον δὲ καὶ τοῦτο, ὅτι αἱ σύνθετοι etc. = Σ v 266, 4—13. Αἱ σύνθετοι κλητικὰς οὐκ ἔχουσιν, ἐπεὶ ἀπὸ τῆς αὐτός σύγκεινται μὴ ἐχούσης κλητικάς. Εἴδη δέ, ὅτι αἱ μέν εἰσι etc. = excerpta ex Σ h 90, 8—91,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

11. Δεῖ δὲ εἰδέναι, ὅτι σύναρθροι etc. = Σ v 267, 32—268, 1. § 18 (23b). Περὶ προθέσεως. Διὰ τί προετάγη τοῦ ἐπιρρήματος ἡ πρόθεσις; Ὅτι etc. = Σ h 91, 15—22. Ἴδιον δέ φασιν εἶναι τῆς προθέσεως τὸ ὀξύνεσθαι καὶ βραχυκαταληκτεῖν· εἰ δέ τις παραιτήσαιτο τὴν εἴς πρόθεσιν καὶ τὴν ἔξ ὡς μακροκαταλήκτους, γινωσκέτω ὅτι ἡ ἔς ἀναλογωτέρα ἐστί, προσθήκην δὲ ὑπομείνασα τοῦ ι οὐδὲν πλέον πέπονθεν ἔξωθεν· ἔθος δὲ ταῖς προθέσεσι πλεονάζειν τὸ ι .

426 Ἡ δὲ ἔκ ἀναλογωτέρα μᾶλλον ἡ εἰς κ λήγουσα, ὥσπερ ἐν τῷ ἐκβαίνω· ἀλλ’ ἐπειδὴ λόγος ἦν ὁ κωλύων λέξιν Ἑλληνικὴν εἰς ἄφωνον καταλήγειν, αὕτη εἰς ξ καταλήγει· πρὸς δὲ τὰς συντάξεις δείξει ἑαυτοῦ τὸ γνήσιον τῆς γραφῆς· εἰ μὲν γὰρ ἀπὸ συμφώνου ἄρχοιτο ἡ ἐπιφερομένη λέξις, τότε 〈ἔχει〉 τὸ κ , εἰ δὲ ἀπὸ φωνήεντος, τὸξ · οὕτω βραχυκαταληκτεῖν πέφυκεν ἡ πρόθεσις. Ἰστέον ὅτι πᾶσα πρόθεσις etc. = Σ v 269, 13—18. Πᾶσα δὲ πρόθεσις καθ’ ἑαυτὴν etc. = Σ v 270, 5—7. Πρόθεσίς ἐστι λέξις· λείπει etc. = Σ h 91, 24—92, 11; 92, 31 —93, 6. Καὶ ἔστιν εἰπεῖν, ὅτι εἰσὶ μὲν etc. = Σ v 269, 18—29. Πόσα παρέπεται τῇ προθέσει; Πέντε· τὸ ὀξύνεσθαι, τὸ ψιλοῦσθαι, τὸ βραχυκαταληκτεῖν, τὸ μέχρι τῆς δισυλλαβίας αὔξεσθαι καὶ τὸ διὰ ψιλοῦ συμφώνου ἐκφέρεσθαι. Πῶς τὸ ὀξύνεσθαι; Πᾶσα πρόθεσις ὀξύνεσθαι θέλει, εἰ μή πω κατὰ ἀναστροφὴν βαρυνθῇ, πλὴν τῆς εἰς καὶ ἐξ· βαρύνεται δὲ καὶ ἐν τῇ συμφράσει. Πῶς τὸ ψιλοῦσθαι; Πᾶσα πρόθεσις ἀπὸ φωνήεντος ἀρχομένη ψιλοῦται, πλὴν τῆς ὑπό καὶ ὑπέρ· τὸ γὰρ υ πάσης λέξεως ἄρχον δασύνεται, πλὴν τοῦ ὔμμε καὶ ὔμμες Αἰολικοῦ. Πῶς τὸ βραχυκαταληκτεῖν; Πᾶσα πρόθεσις βραχυκαταληκτεῖ, πλὴν τῆς εἰς καὶ ἐξ. Πῶς τὸ μέχρι τῆς δισυλλαβίας αὔξεσθαι; Διότι πᾶσα πρόθεσις ἢ μονοσύλλαβος θέλει εἶναι ἢ δισύλλαβος, οὐδέποτε δὲ ὑπερβαίνειν θέλει τὴν δισυλλαβίαν. Πῶς τὸ διὰ ψιλοῦ συμφώνου ἐκφέρεσθαι; Πᾶσα πρόθεσις διὰ ψιλοῦ συμφώνου θέλει ἐκφέρεσθαι, πλὴν τῆς ἀμφί. Εἰσὶ δὲ αἱ προθέσεις ἅπασαι etc. = Σ h 93, 10—23 et 93, 31 — 94, 20. Δισύλλαβοι δὲ δυοκαίδεκ α , ἀνά κατά διά μετά παρά ἀντί ἐπί περί ἀμφί ἀπό ὑπό ὑπέ ρ.] Αἱ τριχρονοῦσαι τῶν προθέσεων οὐκ ἀναστρέφονται ἢ κατὰ θέσιν ἰδίαν ἢ κατὰ παρείσοδον πάθους· καὶ κατὰ θέσιν μὲν 〈ἰδίαν〉 , ὡς ἀντί ἀμφί, κατὰ παρείσοδον δὲ πάθους, ὡς ἡ ὑπείρ καταί παραί· αἱ δὲ διχρονοῦσαι ἀναστροφὴν ὑπομένουσι. Πᾶσαι δὲ αἱ μονοσύλλαβοι εἰς σύμφωνον καταλήγουσι, χωρὶς τῆς πρό, καὶ πᾶσαι αἱ δισύλλαβοι εἰς φωνῆεν, χωρὶς τῆς ὑπέρ. Δισύλλαβοι δὲ δύο καὶ δέκ α.] Αἱ δώδεκα δισύλλαβοι ποτὲ 〈μὲν〉 προτάσσονται, ποτὲ δὲ οὐ προτάσσονται· προτάσσονται μέν, ὡς ὅτε λέγομεν «ἐπὶ πολλῶν»· ἐνταῦθα ἡ ἐπί προτέτακται· ὑποτάσσονται δέ, ὡς παρ’ Ὁμήρῳ 〈Α 162〉 ᾧ ἔπι πόλ λ ’ ἐμόγησα, ἀντὶ τοῦ «ἐφ’ ᾧ», καὶ 〈ex. gr. Η 301〉 ἔριδος πέρι θυμοβόροιο, ἀντὶ τοῦ «περὶ ἔριδος»· καὶ ἑκάστην δὲ τῶν δισυλλάβων προθέσεων εὑρήσομεν ἐπὶ 〈τῆσ〉 αὐτῆς χρήσεως ποτὲ 〈μὲν〉 ἀναστρεφομένην, ποτὲ 〈δὲ〉 οὔ. Καὶ ταῦτα μέντοι περὶ τῶν δισυλλάβων προθέσεων.

427 Ἐπισημαίνεσθαι δὲ δεῖ, ὅτι εἴ ποτε ἀναστρέφονται, πάντως ἀναπέμπονται. Τίνες δέ εἰσιν αὗται; Ἀνά κατά διά 〈μετά παρά ἀντί ἐπί περί ἀμφί ἀπό ὑπό ὑπέρ〉 . Καθολικῶς χρὴ λέγειν, ὅτι αἱ τριχρον. etc. = Σ h 94, 21—95, 3. Διὰ τί πάντων τῶν τοῦ λόγου μερῶν προτίθεται ἡ πρόθεσις; Διὰ τὴν ἐνυπάρχουσαν αὐτῇ ἀσθένειαν· ὥσπερ γὰρ ὁ ἄρρωστος ὁ μὴ δυνάμενος περιπατῆσαι ὑπὸ ἄλλων βασταζόμενος ἐκφέρεται, οὕτω καὶ ἡ πρόθεσις ἀσθενεστάτη οὖσα πάντων τῶν τοῦ λόγου μερῶν ὑπὸ ἄλλων λέξεων βασταζομένη ἐκφέρεται (cfr Σ h 94, 9—13). § 19 (24b). Περὶ ἐπιρρήματος. Τί ἐστιν ἐπίρρημα; Μέρος λόγου ἄκλιτον ἤτοι ἀκίνητον καὶ ἀμετάπτωτον, καὶ τοσοῦτον ὅτι καὶ τὰ ὀνόματα ἐπιρρηματικὴν ἀναδεχόμενα σύνταξιν ἄπτωτα μένει. — Καὶ ἄλλως. Τί ἐστιν ἐπίρρημα; Λέξις ἄκλιτος κατηγοροῦσα τῶν ῥηματικῶν ἐγκλίσεων. —Ἄλλως· λέξις ἄκλιτος κατὰ ῥήματος λεγομένη ἢ ἐπιλεγομένη ῥήματι. Τί ἐστι «κατὰ ῥήματος λεγόμενον ἢ ἐπιλεγόμενον ῥήματι»; Τὸ πρότερον τοῦ ῥήματος εἰπεῖν τὸ ἐπίρρημα, οἷον «καλῶς ἔγραφον», ἢ τὸ ῥῆμα πρότερον τοῦ ἐπιρρήματος, οἷον «γράψω καλῶς». Διὰ τί λέγεται ἐπίρρημα; Διότι προτάσσεται τῷ ῥήματι καὶ ὑποτάσσεται· προτάσσεται μὲν γὰρ ἐν τῷ «καλῶς ἦλθες»,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑποτάσσεται δὲ ὡς ἐν τῷ «ἦλθες καλῶς». Πόσα παρέπεται τῷ ἐπιρρήματι; Τρία· εἶδος ἤτοι χαρακτήρ, σχῆμα καὶ τρόπος ἤτοι δύναμις. Ἰστέον ὅτι διὰ τοῦτο προετάγη ἡ πρόθεσις τοῦ ἐπιρρήματος, ὅτι ὀνόμασι συντίθεται ἢ παρατίθεται, τὸ δὲ ἐπίρρημα ῥήμασι συναρτᾶται, διὸ καὶ οὕτως ὠνομάσθη. Ἐκλήθη δὲ ἐπίρρημα ἤτοι ὅτι κατὰ ῥήματος λέγεται ἢ ἐπιλέγεται ῥήματι· ἔστι δὲ τὸ κατὰ ῥήματος λεγόμενον τὸ πρότερον εἰπεῖν τὸ ἐπίρρημα, εἶθ' οὕτως τὸ ῥῆμα, ὡς τὸ «πάλαι ἔτυπτον»· τὸ μὲν γὰρ πάλαι ἐπίρρημα, τὸ δὲ ἔτυπτον ῥῆμα, καὶ τοῦτό ἐστι τὸ κατὰ ῥήματος λεγόμενον ἐπίρρημα· τὸ δὲ ἐπιλεγόμενον ῥήματι, ὅταν πρότερον ὀνομάσας τὸ ῥῆμα ὕστερον ἐπαγάγω τὸ ἐπίρρημα. Ἰστέον δὲ ὅτι τὸ ἐπίρρημα etc. = Σ v 272, 4—12 et 16—31. Πόσα σχήματα τῶν ἐπιρρημάτων; Δύο, ἁπλοῦν καὶ σύνθετον· ἁπλοῦν μέν, οἷον πάλαι τότε αὖθις καλῶς σοφῶς ἄνω οὔ μή ἑξῆς ἄγαν καὶ ἕτερα, σύνθετον δέ, οἷον πρόπαλαι ἔκτοτε ἐξαῦθις παγκάλως θεοσόφως ὑπεράνω οὐδῆτα μηδῆτα ἐφεξῆς ὑπεράγαν καὶ ἄλλα. Πόσα εἴδη τῶν ἐπιρρημάτων; Δύο, πρωτότυπον καὶ παράγωγον· πρωτότυπον μέν, οἷον ναί, παράγωγον δέ, 〈οἷον〉 ἑλληνιστί ῥωμαϊστί δωριστί, ἐπεὶ ἐκ τοῦ ἑλληνίζω καὶ ῥωμαΐζω καὶ δωρίζω γέγονεν.

428 Ἔστι δὲ τῶν ἐπιρρημάτων τὰ μὲν πρωτότυπα, τὰ δὲ παράγωγα, ἅπερ τὴν ἐξ ἑτέρων παραγωγὴν ἀναδέδεκται· τὸ μὲν γὰρ ναί ἢ οὔ ἤ τι τῶν τοιούτων οὐκ ἔχεται ἑτέρας ἀφορμῆς ἀφ' ἧς παραγέγονε, τὸ δὲ ἑλληνιστί ἢ δωριστί ἔχει προϋφεστῶτα 〈τὸ〉 ἑλληνίζω καὶ δωρίζω. Καὶ τὰ μὲν παράγωγα ἢ ἀπὸ ἐπιρρημάτων, ὡς ἐγγύς ἐγγυτέρω, ἢ ἐξ ὀνόματος, ὡς τὸ βοτρυδόν, ἢ ἀπὸ ῥήματος, ὡς κλέβδην αἰολιστί ἀπὸ τοῦ κλέπτω καὶ αἰολίζω ἐστίν, ἢ ἀπὸ μετοχῆς, ὡς τὸ ἐπισταμένως, ἢ ἐξ ἀντωνυμίας, ὡς τὸ οὕτως, ἢ ἐκ προθέσεως, οἷον ἔξω ἔσω. Ἔστι δὲ ὅτε καὶ ὀνοματικὴ κατάληξις σύνταξιν ἐπιρρηματικὴν ἀναδεξαμένη [καὶ] ἐπίρρημα καλεῖται, ὡς τὸ «ταχὺ ἐλθέ» 〈ἀντὶ τοῦ ταχέως〉, «καλὰ ποίησον» ἀντὶ τοῦ καλῶς· ἄπειρος δὲ ἡ εἰς τοῦτο παράθεσις· καὶ ἔστιν ἀναλογία ἐν τούτοις κεχωρισμένη τῆς τῶν ἐπιρρημάτων φωνῆς. Ὄνομα δὲ μετατιθέμενον εἰς σύνταξιν ἐπιρρηματικὴν ἄκλιτον. Εἶπε τὸ ἐπίρρημα μέρος λόγου οὕτως ἄκλιτον, 〈ὅτι καὶ〉 ἐπάν τι κλιτικὸν etc. = Σ v 273, 2—9. Ἢ ἐπιλεγόμενον ῥήματ ι.] Ζητεῖται εἰ καὶ πρὸ ῥήματος καὶ μετὰ ῥῆμα εὑρίσκεται τὸ ἐπίρρημα, πῶς ἐκ τῆς μιᾶς τάξεως κέκληται ἐπίρρημα, καὶ οὐκ ἔστιν ὑπόρρημα. Φαμὲν οὖν ὅτι καὶ ἡ αὐτός 〈ἀντωνυμία〉 ἐπιταγματικὴ καλεῖται, καίτοι πολλάκις ὑποτασσομένη· ἄλλως τε ἡ φύσει σύνταξις, ἀφ' ἧς καὶ κέκληται, ἐν προταγῇ ἐστιν· ἐπίθετα γὰρ τῶν ῥημάτων τὰ ἐπιρρήματα· ὡς οὖν τὰ ἐπιθετικὰ τῶν ὀνομάτων προτίθεται, οἷον «λευκὸς ἵππος ἔδραμεν», οὕτω δὴ καὶ τὰ ἐπιρρήματα προτίθεται τῶν ῥημάτων. Ἰστέον δὲ ὅτι ἔστιν ἁπλᾶ καὶ σύνθετα τῶν ἐπιρρημάτων· σχηματίζονται γὰρ οὕτω· «τὰ μὲν ἁπλᾶ, ὡς πάλαι, τὰ δὲ σύνθετα, ὡς πρόπαλαι». Τὰ μὲν ἁπλᾶ ἐστι ταῦτα, πάλαι τότε αὖθις αὔριον καλῶς σοφῶς ἄνω οὔ μή ἑξῆς ἄγαν καὶ τὰ ὅμοια, τὰ δὲ σύνθετα πρόπαλαι ἔκτοτε ἐξαῦθις μεταύριον παγκάλως πανσόφως ὑπεράνω οὐδῆτα μηδῆτα ἐφεξῆς ὑπεράγαν καὶ τὰ ὅμοια. Ἔστι δὲ καὶ παρασύνθετα ἀπὸ ὀνομάτων συνθέτων παρηγμένα, οἷον πάγκαλος πάγκαλοι παγκάλων παγκάλως, ἃ καὶ τῶν γενικῶν τὸν τόνον τηρεῖ, ἀψευδῶς ἐπεὶ ἀψευδῶν, ἀσέμνως ἐπεὶ ἀσέμνων. Ἰστέον δὲ ὅτι καὶ εἴδη παρέπεται etc. = Σ h 96, 22—32. Κατὰ πόσους τρόπους γίνονται τὰ ἐπιρρήματα; Κατὰ εἰκοσιέξ· ἢ γὰρ χρόνου δηλωτικά εἰσιν, ἢ ἀριθμοῦ, ἢ μεσότητος, ἢ τόπον δηλοῦσιν, ἢ εὐχῆς εἰσι σημαντικά, ἢ σχετλιασμοῦ, ἢ ἀρνήσεως τῆς καὶ ἀποφάσεως καλουμένης, ἢ συγκαταθέσεως, ἢ ἀπαγορεύσεως, ἢ παραβολῆς τῆς καὶ ὁμοιώσεως, ἢ ποιότητος, ἢ ποσότητος, ἢ θαυμασμοῦ, ἢ εἰκασμοῦ, ἢ τάξεως, ἢ ἀθροίσεως, ἢ παρακελεύσεως, ἢ συγκρίσεως, ἢ ἐρωτήσεως, ἢ ἐπιτάσεως, ἢ συλλήψεως, ἢ βεβαιώσεως, ἢ θειασμοῦ· εἰσὶ δὲ καὶ τὰ κατωμοτικὰ καὶ τὰ ἀπωμοτικὰ καὶ τὰ θετικά.

429 Ποῖά εἰσι τὰ χρόνου δηλωτικά; Τὰ δὲ χρόνου δηλωτικ ά.] Προστιθέναι δεῖ etc. = Σ h 96, 33 —97, 17. Οἷον νῦν τότε 〈αὖθις 〉.] Ἐπεί, ὡς προείπομεν, οἱ χρόνοι οὗτοι οἱ τρεῖς περιεκτικοί εἰσι πλειόνων καιρῶν, διὰ τοῦτο ὡς γενικοὺς προέταξεν αὐτούς· τοὺς δὲ καιροὺς ὑπέταξε τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρόνοις ὡς μερικούς. Τούτοις δὲ ὡς εἴδη ὑποτακτέον τὰ καιροῦ παραστατικ ά , οἷον χθές σήμερον αὔριον τόφρα τέως ἕως πηνίκα ἔπειτα ἄψ · τούτων γὰρ ἕκαστον 〈ἐ φ ’〉 ὡρισμένου λέγεται καιρο ῦ.] Ἰστέον δὲ ὅτι τὸ ὄφρα καὶ ἕως προηγούμενά εἰσιν ἐν συντάξει λόγου, τὸ δὲ τόφρα καὶ τέως ἐπαγόμενα. [Προεγράφη ἄνω ἡ ἑρμηνεία, τὸ «Καὶ ἔστι σαφῶς εἰπεῖν» καὶ τἆλλα εἶτα.] Ἑξῆς οὖν ἐπάγει τὰ καιροῦ παραστατικά, ἅπερ φησὶν ὡς εἴδη ὑποτακτέον τοῖς χρόνοις, οἷον σήμερον αὔριον· τούτων γὰρ ἕκαστον ὡρισμένον τί ἐστι καὶ περιγεγραμμένον. Καὶ τὸ τόφρα ἐπὶ ὡρισμένου καιροῦ λέγεται, ὡς ἐκεῖ 〈Θ 66. ι 56〉 τόφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμα ρ· ἐσήμανε γὰρ χρόνον τὸν ἀπὸ πρωΐ ἕως ἕκτης ὥρας· καὶ τὸ τότε ὡρισμένον ἐστί, καὶ 〈τὸ〉 ἦμος δὲ ὡρισμένον ἐστίν, ὡς ἔχει 〈ex. gr. Α 477〉 ἦμος δ ’ ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώ ς, τὸν γὰρ ἑωθινὸν καιρὸν δηλοῖ [σημαίνει δὲ καὶ τὸ ἦμος καιρόν]. Διαφέρει δὲ τὸ ἕως τοῦ τέως καὶ τὸ ὄφρα τοῦ τόφρα, ὅτι ὅτε μὲν προηγούμενά ἐστιν ἐν συντάξει λόγου, χωρὶς τοῦ συμφώνου ἐστίν, ὡς τὸ ἕως καὶ τὸ ὄφρα, ὅτε δὲ ἐπάγεται, μετὰ συμφώνου προφέρεται, ὡς τὸ τέως καὶ τὸ τόφρα· αὕτη αὐτῶν ἐστιν ἡ διαφορὰ μόνη. Τούτοις δὲ ὡς εἴδη ὑποτακτέο ν.] Ὑποτακτέον etc. = Σ h 97, 19—22. Καὶ δοκεῖ τι διάφορον εἶναι· οὐ γὰρ ταὐτόν ἐστι χρόνος καὶ καιρός· ἔστι γὰρ διαφορὰ τῶν τε χρόνων καὶ καιροῦ παραστατικῶν ἐπιρρημάτων· καὶ τὰ χρονικὰ παράτασιν χρόνου καὶ ἀοριστίαν ἐπαγγέλλονται, τὰ μέντοι καιρικὰ καιρὸν ὡρισμένον τινὰ παρίστησιν. Ποῖά εἰσι τὰ τῆς μεσότητο ς; Τὸ καλῶς σοφῶς δυνατῶς. Εἴρηται μεσότητος ἐπιρρήματα, παρόσον εἰσὶ μέσα ἀρσενικῶν καὶ θηλυκῶν καὶ οὐδετέρων ὀνομάτων· ἐκ μέσου γὰρ τῆς κλίσεως τῶν ὀνομάτων λαμβάνονται· ἀπὸ γὰρ τῶν τριῶν γενῶν ἐκπίπτει ἡ γενικὴ εἰς ων , οἷον καλοί καλαί καλά καλῶν καλῶς, φίλοι φίλαι φίλα φίλων φίλως, σοφοί σοφαί σοφά σοφῶν σοφῶς· καὶ ἀπὸ μὲν τῆς γενέσεως μεσότητος, ἀπὸ δὲ τῆς σημασίας ποιότητος ἐπιρρήματα καλοῦνται.

430 Καὶ χρὴ γινώσκειν, ὡς τὸ τῆς μεσότητος ἐπίρρημα πάντως ἐστὶ καὶ ποιότητος, οὐ μὴν εἴ τι ποιότητος, πάντως καὶ μεσότητος· οἷον ἐὰν εἴπω «καλῶς γράφω», τὴν ποιότητα τῆς καλῆς γραφῆς ἐδήλωσα, ἢ 〈ἐὰν εἴπω〉 «σοφῶς λέγω», ὁμοίως τὴν ποιότητα τῆς σοφωτάτης λέξεως ἐδήλωσα. Πάντα δὲ παράγωγα τὰ εἰς ως etc. = Σ v 274, 31—275, 2. Δεῖ δὲ πρότερον ἀποβλέπειν etc. = Σ v 275, 18—28. Ἰστέον δὲ ὅτι τῶν ἐπιρρημάτων ἀπὸ μὲν ὀνόματος πεποίηται καλῶς θύραζε, ἀπὸ δὲ ῥήματος μίγδην κρύβδην ἀναφανδόν συριστί καὶ τὰ ὅμοια, ἀπὸ δὲ ἐπιρρήματος τηνικαῦτα τῆμος τημοῦτος, ἀπὸ δὲ προθέσεως ἄνω κάτω ἔξω. Ποῖά εἰσι τὰ τῆς ποιότητο ς; Τὸ πύξ λάξ βοτρυδόν ἀγεληδόν καὶ τὰ ὅμοια. —Ποιότητος λέγονται etc. = Σ h 98, 6—10. Ἰστέον δὲ ὅτι ποιότητός εἰσιν etc. = Σ v 275, 30—276, 11. Ποῖά εἰσι τὰ ἀριθμοῦ δηλωτικ ά; Τὸ δίς τρίς τετράκις, ἃ καὶ ποσὸν ὡρισμένον δηλοῦσι. Ψεύδεται ὁ τεχνικὸς etc. = Σ h 98, 13—17. Ποῖά εἰσι τὰ τοπικ ά; Τὰ τόπον δηλοῦντα, οἷον ἄνω κάτω ἐνώπιον καταμόνας χαμαί ἔνθεν ἐνθένδε ὅθεν ἐπέκεινα μακράν. —Τὰ τοπικὰ etc. = Σ h 98, 19—100, 10. Οἷον ἄνω κάτ ω.] Τὰ εἰς ω παράγωγα etc. = Σ v 277, 2—8. Οἷον οἴκο ι.] Τὰ εἰς οι ὑπὲρ δύο συλλαβάς etc. = Σ v 278, 1—11 et 25—32. Ποῖα τὰ τῆς εὐχῆς σημαντικ ά; Τὸ εἴθε αἴθε καὶ εἴ καὶ αἴ Αἰολικόν, χωρὶς τῆς θε ἐπεκτάσεως· ἔστι δὲ καὶ τὸ ὄφελον καὶ τὸ ὤφελες, ὃ καὶ μέγα καὶ μικρὸν γράφεται. —Δι’ αὐτῶν γὰρ εὐκτικὰς συντάξεις σημαίνομεν, 〈ex gr. Η 157〉 εἴ θ ’ ὣς ἡβώοιμ ι· τὸ γὰρ αἴθε εἴθε φησὶν ὁ ποιητής· [καὶ Καλλίμαχος 〈fr. 455 Sch〉 ἀβάλε μὴ δ ’ ἀβόλησ α·] τὸ εἴθε καὶ τὸ ἀβάλε ἐκ παραλλήλου [τὸ αὐτό] κεῖται [ἡ λέξις], τὸ ἀβάλε παρὰ Καλλιμάχῳ, ἔνθα φησὶν ἀβάλε μὴ δ ’ ἀβόλησα, τουτέστιν εἴθε μηδὲ συνέτυχον· τὸ γὰρ ἀβολῆσαι συντυχεῖν ἐστιν, ὡς καὶ παρ’ Ὁμήρῳ 〈Π 847〉 τοιοῦτοι δ ’ εἴπερ μοι ἐείκοσιν ἀντεβόλησαν, ἀντὶ τοῦ συνέτυχον. Διαφέρει δὲ τὸ ὤφελε τοῦ εἴθε, ὅτι ἀπαρεμφάτοις συντάσσεται καὶ τοῖς τρισὶ προσώποις, τὸ δὲ εὐκτικοῖς, 〈ex.
431 gr. Η 157〉 εἴ θ ’ ὣς ἡβώοιμ ι· τὸ δὲ ἀβάλε δύο ἐστὶ μέρη τοῦ λόγου ἐκ παραλλήλου κείμενα· τὸ γὰρ α πρὸ τοῦ β κατὰ κοινὴν διάλεκτον ἐν ἑνὶ μέρει λόγου συστέλλεται, Ἄβυδος ἁβρός· εἰ δὴ ἓν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μέρος λόγου, βραχὺ τὸα · ἔστι δὲ μακρόν· εὑρίσκεται δὲ καὶ βάλε λεγόμενον, βάλε δὴ βάλε κηρύλος εἴη ν, Ἀλκμάν 〈fr. 26, 2 B 4 〉 · εἰ δ’ ἦν ἀφαίρεσις ὡς ἑνὸς μέρους λόγου, ἀλλὰ τὸ μακρὸν α οὐκ ἀφαιρεῖται· γέγονεν οὖν ἀποκοπὴ δύο συλλαβῶν· ἀλλ’ οὐδέποτε ἡ αὐτὴ συλλαβὴ ἀφαιρεῖται καὶ ἀποκόπτει δύο συλλαβάς. Ἰστέον δὲ ὅτι εἰσὶ καὶ εὐχῆς ἐπιρρήματα, οὐχ ὅτι αὐτὰ λέγων τις εὐχὴν δοκεῖ ποιεῖσθαι, ἀλλ’ ἐπειδὴ ὅταν τις εὔχηταί τι γενέσθαι, τούτοις χρῆται τοῖς μορίοις, ὡς καὶ αὐτὸς ὁ τεχνικὸς λέγει, εἴθε ἀβάλε· οἷς συγκατέταξάν τινες καὶ τὸ ὤφελες. Εἰ δὲ πολλάκις εὑρέθη δύο τοιαῦτα παρὰ τοῖς ποιηταῖς, μὴ ξένον φανείη· σχήματι γὰρ κέχρηνται οἱ ποιηταὶ τῷ παραλλήλῳ. Τοῦτο τὸ αἶθε Δωρικώτερον, τὸ γὰρ α ἀντὶ τοῦ ε κατέταξαν· καὶ ἔστι πάντων ἡ χρῆσις παρὰ τοῖς ποιηταῖς, καὶ τοῦ αἴ καὶ τοῦ εἴ καὶ τοῦ ὄφελον, τοῦ μέντοι αἴ 〈ex. gr. B 371〉 αἲ γά ρ , Ζεῦ τε πάτε ρ· κατὰ παράλληλον 〈ubi? an ξ 68?〉 αἴ θ ’ ὤφελ λ ’ Ἑλένης ἀπὸ πάμπαν φῦλον ὀλέσθα ι· τὸ ἆ παρὰ Καλλιμάχῳ 〈fr. 323 Sch〉 ἆ , πάντως ἵνα γῆρας, καὶ τὸ βάλε κε νοεῦνται (sic). Ποῖα τὰ σχετλιασμο ῦ; Τὸ παπαί οὐαί ἰατταταῖ, ὃ καὶ ἰατταταιάξ γράφεται. —Σχετλιαστικὰ λέγεται τὰ ἐξ αὐτοπαθείας ἀναπεμπόμενα ἐπιφθέγματα, ὅθεν καὶ πρώτου προσώπου εἰσίν. —Ἰστέον ὅτι σχετλιασμοῦ λέγεται εἶναι ἐπιφθέγματα, ὅταν τις ὑπὸ μείζονος προσώπου κακῶς πεπονθὼς προ 〈σ〉 αναφωνῇ, ὡς τὸ ἰατταταῖ καὶ τὸ φεῦ ἰού καὶ ὢ πόποι καὶ τὸ ὤμοι. Ταῦτα δὲ πάντα τὰ σχετλιαστικὰ οἱασδήποτ’ ἂν εἴη καταλήξεως ὀφείλει περισπᾶσθαι, σεσημειωμένων δύο μόνων, τοῦ ὤμοι καὶ τοῦ ὢ πόποι, οἷον παπαῖ [ἰού] φεῦ. Ἰστέον δὲ ὅτι τὸ ἰού σεσημείωται κατὰ τόνον· πᾶσα γὰρ λέξις εἰς ου δίφθογγον λήγουσα [διὰ τοῦ υ ], ἐπ’ αὐτοῦ ἔχουσα τὸν τόνον, περισπωμένην ἔχει. Καὶ ἄλλως· τὰ εἰς ου ἐπιρρήματα 〈τοπικὰ〉 περισπᾶται, ἀλλαχοῦ ἑκασταχοῦ· τὸ δὲ ἰδού καὶ ἰού ὀξυνόμενα τόπον οὐ δηλοῦσιν, ἐπεὶ τὸ οὗ τοπικὸν περισπᾶται· καὶ τὸ φεῦ περισπᾶται. —Τῶν εἰς ου ἐπιρρημάτων τὴν ἐν τόπῳ σχέσιν δηλούντων τὸ ποῦ καὶ τὴν εἰς τόπον ἐδήλου, οἷον 〈N 219〉 ποῦ τοι ἀπειλαὶ Οἴχοντα ι; τὸ δὲ ὅπου βαρύνεται ὡς ἀναφορικόν. Ποῖα τὰ τῆς ἀρνήσεως τῆς καὶ ἀποφάσεω ς; Τὸ οὔ οὐχί οὐκί οὐδῆτα οὔκουν οὐδαμῶς.

432 —Ἀρνήσεως ταῦτα λέγονται, ὅτι ἐγκλήματος ἐπιφερομένου δι’ αὐτῶν τις ἀρνεῖται. —Καὶ χρὴ εἰδέναι ὅτι ταῦτα τὰ τῆς ἀρνήσεως ἢ ἀποφάσεως ἐπιρρήματα ὁριστικοῖς συντάσσεται. Τὸ οὐχί παράλογον κατὰ τὸν τόνον, ἔδει γὰρ βαρύνεσθαι, ὡς τὸ ναίχι. Τὸ οὐδαμῶς οὕτως· οὐδαμόθεν οὐδαμῇ οὐδαμοῦ οὐδαμῶς. Ἰστέον δὲ ὅτι ἄρνησις καὶ ἀπόφασις ταὐτόν ἐστιν· Ὅμηρος· 〈A 514〉 νημερτὲς μὲν δή μοι ὑπόσχεο καὶ κατάνευσο ν , Ἢ ἀπόειπε, ἀντὶ τοῦ ἄρνησαι. Ποῖα τὰ τῆς συγκαταθέσεω ς; Τὸ ναί, ναίχι [ναίφι]· ἔστι δὲ συγκατάθεσις ἐναντία τῇ ἀπαγορεύσει. —Πάλιν τούτοις κεχρήμεθα, ὅταν τισὶ συμβουλεύουσι κατατιθώμεθα καὶ ἐπαγγελλώμεθα, ὡς ναί ναίχι· τοῦτο παραγωγὴν ὑπομένει διὰ τῆς χι συλλαβῆς οὐδὲν πλέον σημαῖνον, ὥσπερ καὶ ἡ οὐχί ἄρνησις οὐδὲν πλέον 〈τῆς οὔ〉 σημαίνει· ἐνταῦθα μὲν βαρύνεται, ἐν δὲ τῇ ἀρνήσει ὀξύνεται Ἀττικῇ συνηθείᾳ. Ποῖα τὰ τῆς ἀπαγορεύσεω ς; Τὸ μή μηδῆτα μηδαμῶς μηδοπωσοῦν. —Τί διαφέρει ἄρνησις ἀπαγορεύσεως; Ὅτι ἡ μὲν ἄρνησις ἐναντία ἐστὶ τῇ καταφάσει διὰ τὸ ἐγκλήματος ἐπιφερομένου τίθεσθαι, ἡ δὲ ἀπαγόρευσις τὴν ἐν τῇ καταφάσει πρόσταξιν παύει, διότι ἀποτροπή ἐστι πράγματός τινος. Ἀπαγόρευσίς ἐστιν ἐκ παραινέσεως ἀποτροπή· δι’ αὐτῆς γὰρ ἀπαγορεύομεν τοῦ μὴ τόδε ἢ τόδε ποιεῖν. Καὶ χρὴ εἰδέναι ὅτι ταῦτα τὰ τῆς ἀπαγορεύσεως ἐπιρρήματα προστακτικοῖς συντάσσονται, καὶ ὅτι διαφέρει ἄρνησις ἀπαγορεύσεως, ὅτι ἡ μὲν ἄρνησις ἐπὶ ἐγκλήματος ἐπιφερομένου γίνεται, ἡ δὲ ἀπαγόρευσις ἀποτροπή ἐστι πράγματός τινος. — Ἰστέον δὲ ὅτι τὰ εἰς η λήγοντα, ὡς τὸ πῇ, ὡς ἐπίπαν τὴν εἰς τόπον δηλοῖ σχέσιν, οἷον 〈Z 377〉 πῇ ἔβη Ἀνδρομάχ η; 〈A 120〉 ὅ μοι γέρας ἔρχεται ἄλλ η, 〈ρ 219〉 πῇ δὴ τόνδε μολοβρὸν ἄγει ς ; Οἷον μή μηδῆτα μηδαμῶ ς.] Τούτων etc. = Σ v 280, 5—10. Ποῖα 〈 τὰ〉 τῆς παραβολῆς τῆς καὶ ὁμοιώσεω ς; Τὸ ὥς ὥσπερ ἠΰτε εὖτε καθά καθάπερ. —Δι’ αὐτῶν etc. = Σ h 100, 35—38. Ποῖά εἰσι τὰ τῆς ποσότητο ς; Τὸ πολλάκις ὀλιγάκις μυριάκις, ἅτινα ποσότητα δηλοῖ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ποϊά εἰσι τὰ τοῦ θαυμασμο ῦ; Τὸ βαβαί, τὸ ὢ τὸ θαυμαστικόν, τὸ Ἡράκλεις, τὸ Ἄπολλον. Ποῖά εἰσι τὰ τοῦ εἰκασμο ῦ; Τὸ ἴσως τάχα τυχόν· τὸ μὴ εἰδέναι γὰρ ἀκριβῶς εἰκάζειν φαμέν. — Εἰκασμὸς δέ ἐστιν = Σ h 101, 1—4. Ποῖά εἰσι τὰ τῆς τάξεω ς; Τὸ ἑξῆς ἐφεξῆς καθεξῆς χωρίς νόσφι καὶ τὰ τοιαῦτα.

433 —Ἰστέον ὅτι τὸ χωρίς ἀντὶ τοῦ κεχωρισμένως. Ποῖα τὰ τῆς ἀθροίσεω ς; Τὸ ἄρδην χύδην ἤλιθα ἅλις καὶ ἕτερα. —Ἀθροίσεως λέγονται, ἐπειδὴ ἀθροίζοντες καὶ συστρέφοντες ὄχλον τούτοις κεχρήμεθα τοῖς ἐπιρρήμασιν. —Ἰστέον ὅτι τὰ διὰ τοῦ δην βαρύνεται etc. = Σ v 280, 22—281, 2. Ποῖα τὰ τῆς παρακελεύσεω ς; Τὸ εἶα ἄγε φέρε δεῦρο ἴθι ἄγρει μάν· εὑρέθη δὲ 〈καὶ〉 τὸ εἴ μόνον, οἷον 〈Α 302〉 εἰ δ ’ ἄγε μή ν , πείρησα ι , ἵνα γνώωσι καὶ οἵδ ε. —Παρακελεύσεως λέγονται ὅτι δι’ αὐτῶν παρακελευόμεθα etc. = Σ h 101, 8—12. Οἷον εἶα ἄγ ε.] Καὶ τὸ εἶεν παρακελευστικόν etc. = Σ v 281, 4—7. Ποῖα τὰ τῆς συγκρίσεω ς; Τὸ μᾶλλον ἧττον κρεῖττον. Ποῖα τὰ τῆς ἐρωτήσεω ς; Τὸ πόθεν ποῦ διατί πηνίκα πῶς. — Ἰστέον ὅτι τὰ ἐρωτηματικὰ πάντα εἰς δύο μέρη λόγου συντείνει, εἴς τε ὄνομα μόνον καὶ ἐπίρρημα. Καὶ περὶ μὲν τῶν ἐρωτηματικῶν ἀρκούντως εἴρηται ἐν τῷ περὶ ὀνόματο ς· ἐπεὶ δὲ περὶ ἐπιρρήματος λέγειν πρόκειται, ἔστι πῶς πότε πῇ 〈πηνίκα〉 ποῦ· ταῦτά ἐστιν τὰ ἐν ἐπιρρήμασιν ἐρωτηματικά. Πᾶν δὲ ἐρωτηματικὸν ἀπὸ τοῦ π ἄρχεται, σεσημειωμένου ἐν μὲν ὀνόμασι τοῦ τίς, ἐν δὲ ἐπιρρήμασι τοῦ ὥς, ὅπερ μᾶλλον ἂν εἴη ὁμοιώσεως καὶ παραβολῆς ἤπερ ἐρωτήσεως, οἷον πόθεν ποῦ πηνίκα πῶς. Καὶ ἐκ μὲν τοῦ πῶς ζητεῖται τρόπος, τοῦ πηνίκα χρόνος, τοῦ πόθεν τόπος καὶ τοῦ ποῦ καὶ πόσε· ἡ δὲ ἐρώτησις ἐν πᾶσι τοῖς μέρεσι τοῦ λόγου [εἴρηται]. Ποῖα τὰ τῆς ἐπιτάσεω ς; Τὸ λίαν σφόδρα ἄγαν πάνυ μάλιστα κομιδῇ. Ποῖα τὰ τῆς συλλήψεω ς; Τὸ ἅμα ὁμοῦ ἄμυδις. —Τὸ ἄμυδις etc. = Σ v 281, 24—26. Ποῖα τὰ τῆς βεβαιώσεω ς; Τὸ δηλαδή, τουτέστι [καὶ] τὸ πάντως δήπουθεν, καὶ τὸ ἀμήν. —Βεβαιῶν etc. = Σ v 282, 6—8. Ποῖα τὰ τοῦ θειασμο ῦ; Τὸ εὐοῖ. —Θειασμοῦ etc. = Σ h 102, 1—3. Καὶ πάλιν θειασμοῦ λέγεται ἐπιρρήματα, ἃ θειάζοντές τινες καὶ κάτοχοι τῷ Διονύσῳ γινόμενοι, τουτέστιν ἐμφορούμενοι ὑπὸ 〈σφοδροῦ〉 τινος πνεύματος, ἐπιφθέγγονται καὶ λέγουσιν εὐάν εὐοῖ· ταῦτα οὖν ἐστι τοῦ Διονύσου, ἐπειδὴ καὶ αὐτὸς μανίας ἐστὶ ποιητής, καὶ ταῦτα 〈τὰ〉 ἐπιφθέγματα ὑπὸ τῶν μυστῶν πρὸς αὐτὸν λέγεται.

434 Ἐπάγεται δὲ αὐτοῖς ῥῆμα τὸ ἐπιφθέγγομαι, «εὐἄν ἐπιφθέγγομαι» καὶ «εὐοῖ ἐπιλέγω». Ἰστέον δὲ ὅτι τὸ εὐοῖ καὶ εὐάν [καὶ] ἀλόγως δασεῖαν ἔχουσιν ἐν τέλει ἁπλᾶ ὄντα, εἰ μή τις εἴποι, τὸ σφοδρὸν πνεῦμα τοῖς βακχιάζουσιν ἁρμόζειν. —Ἰστέον ὅτι θειασμὸς ἡ θεοφόρησις λέγεται. Ποῖά εἰσι τὰ κατωμοτικ ά; Τὸ νή. —Κατωμοτικὸν δέ ἐστι τὸ μεθ’ ὅρκου βεβαιωτικόν, οἷον 〈cfr Α 234〉 νὴ τοῦτο τὸ σκῆπτρον, 〈ubi?〉 νὴ τὴν σὴν ἱερὰν κεφαλή ν. Ἰστέον δὲ ὅτι τὰ κατωμοτικὰ ἀκολουθεῖ τῇ συγκαταθέσει· ὀμνύω γὰρ οὕτως· «νὴ τοὺς θεοὺς ποιῶ τόδε»· τὸ δὲ λέγειν «ναὶ μὰ τοὺς θεοὺς ποιῶ τόδε» οὐκ ἔστιν ὅρκος. Ὅμηρος δὲ μόνος οὐ χρῆται τῷ νή κατωμοτικῷ, ἀλλὰ μόνῳ τῷ ἀπωμοτικῷ τῷ μά, ὡς τὸ 〈Α 234〉 ναὶ μὰ τόδε σκῆπτρον, καὶ 〈Α 86〉 οὐ μὰ γὰρ Ἀπόλλωνα Διϊ φίλο ν. Ποῖα τὰ ἀπωμοτικ ά; Τὸ μά, τὸ οὔ. —Ἀπωμοτικόν ἐστι etc. = Σ h 101, 20—25. Οἷον μ ά.] Τὸ δὲ μά εὑρίσκεται καὶ ἐπὶ συγκαταθέσεως. Ἰστέον δὲ ὅτι τὰ ἀπωμοτικὰ ἀκολουθεῖ τοῖς ἀπαγορευτικοῖς· ὀμνύω γὰρ οὕτω· «μὰ τὸν Ἀπόλλωνα, ἀδικήσω γέ σε», ἢ «οὐκ ἀδικήσω γέ σε». Ἀπωμοτικὸν τὸ οὔ· Ὅμηρος 〈Α 86〉 οὐ μὰ γὰρ Ἀπόλλωνα Διϊ φίλο ν , ᾧτε σὺ Κάλχαν, 〈Α 88〉 οὔ τις ἐμεῦ ζῶντο ς· καὶ οὐκ ἠρκέσθη τῷ προτέρῳ ἀπαγορευτικῷ, ἀλλὰ καὶ δεύτερον ἐπήγαγε τὸ οὔ τις· ὅθεν μάλιστα γνωστέον, ὅτι τὰ ἀπωμοτικὰ τοῖς ἀπαγορευτικοῖς ἀκολουθεῖ. Ποῖα τὰ θετικ ά; Τὸ ἀναγνωστέον πλευστέον ὑπνωτέον λαλητέον καὶ ὅσα δηλοῖ τὸ δέον ἐστὶ τόδε ποιῆσαι. —Θετικά ἐστι τὰ θέσιν etc. = Σ h 101, 32—36. Ἰστέον δὲ ὅτι θετικὰ λέγονται ἀπὸ τοῦ θεῖναι etc. = Σ v 282, 18—21. Ποῖα τὰ δεικτικ ά; Τὰ δεῖξίν τινα σημαίνοντα, οἷον ἴδε ἰδού. Ποῖα τὰ τῆς βεβαιώσεω ς; Τὸ δηλαδή. —Βεβαιῶν etc. = Σ v 282, 6—8. Ἐκ πόσων μερῶν τοῦ λόγου γίνονται τὰ ἐπιρρήματα; Ἐκ πάντων· ἀπὸ μὲν

ὀνόματος, ὡς τὸ φρόνιμος φρονίμως ἀπὸ ῥήματος, ὡς τὸ κρύπτω κρύβδην, αἰολίζω αἰολιστί· ἀπὸ μετοχῆς, ὡς τὸ ἐπιστάμενος ἐπισταμένως· ἀπὸ ἄρθρου, ὡς τὸ ὅς ὥς· ἀπὸ ἀντωνυμίας, ὡς τὸ οὗτος οὕτως, ἐκεῖνος ἐκείνως· ἀπὸ προθέσεως, ὡς τὸ ἀνά ἄνω, κατά κάτω· ἀπὸ ἐπιρρήματος, ὡς τὸ ἐγγύς ἐγγυτέρω· ἀπὸ συνδέσμου, ὡς τὸ καθά καθώς.

435 Ἐκ πόσων δὴ πτώσεων γίνονται τὰ ἐπιρρήματα; Ἐκ πασῶν· ἀπὸ εὐθείας, ὡς ἐκ τοῦ πρόφρων, ὃ δηλοῖ τὸν πρόθυμον, τὸ πρόφρων, οἷον 〈Ξ 357〉 πρόφρων 〈νῦν〉 Δαναοῖσ ι , Ποσείδαο ν , ἐπάμυνον, ἀντὶ τοῦ προφρόνως· ἀπὸ γενικῆς, ὡς ἐκ τῆς προικός γενικῆς τὸ προικός ἐπίρρημα, οἷον 〈ν 15〉 ἀργαλέον γὰρ ἕνα προικὸς χαρίσασθα ι· ἀπὸ δοτικῆς, ὡς ἐκ τῆς ἰδίᾳ δοτικῆς (ἔστι γὰρ ἡ εὐθεῖα ἡ ἰδία, ἡ γενικὴ τῆς ἰδίας, ἡ δοτικὴ τῇ ἰδίᾳ) τὸ ἰδίᾳ ἐπίρρημα, οἷον 〈En. Joh. 18, 20〉 ἰδίᾳ ἦλθον ἐγ ώ , παρρησίᾳ ἐλάλησα τῷ κόσμ ῳ· ἀπὸ αἰτιατικῆς, ὡς ἐκ τῆς ἀπριάτην αἰτιατικῆς (ἔστι γὰρ ἡ εὐθεῖα ἡ ἀπριάτη, ἡ γενικὴ τῆς ἀπριάτης, ἡ δοτικὴ τῇ ἀπριάτῃ, ἡ αἰτιατικὴ τὴν ἀπριάτην) τὸ ἀπριάτην ἐπίρρημα, οἷον 〈Α 99〉 ἀπριάτην ἀνάποινο ν· καὶ ὡς ἐκ τῆς πέραν αἰτιατικῆς (ἔστι γὰρ ἡ πέρα, καὶ κλίνεται τῆς πέρας, ἡ δοτικὴ τῇ πέρᾳ, ἡ αἰτιατικὴ τὴν πέραν) τὸ πέραν ἐπίρρημα, ὡς τὸ 〈Ev. Joh. 18, 1〉 πέραν τοῦ χειμάρρου τῶν κέδρω ν· ἀπὸ κλητικῆς, οἷον 〈ἐκ τοῦ〉 ὦ Ἡράκλεις, τὸ Ἡράκλεις ἐπίρρημα, οἷον 〈Lucian. Fugit. c. 32〉 Ἡράκλεις ἀλεξίκακε, καὶ ἐκ τοῦ ὦ Ἄπολλον τὸ 〈Arist. Plut. 854〉 Ἄπολλον ἀποτρόπαι ε· ἀμφότερα γάρ, τό τε Ἡράκλεις καὶ τὸ Ἄπολλον, ἐπὶ θαυμασμοῦ καὶ ἐκπλήξεως· ὡς καὶ παρὰ Λουκιανῷ τὸ 〈ubi?〉 ὦ τοῦ θαύματο ς. Ταῦτα μὲν οὖν τὰ ἀπὸ τῶν ἄλλων πτώσεων μεσότητος λέγεται, ἔχουσι γὰρ δυνάμει τὴν σημασίαν αὐτῶν· τὰ δὲ ἀπὸ κλητικῆς οὐδέποτε, ἀλλ' εἰσὶ ταῦτα θαυμαστικὰ καὶ ἐκπληκτικά· ὅθεν καὶ πρὸς γενικὴν λέγονται, ὡς τὸ βαβαί καὶ φεῦ, ὡς παρὰ Ἀριστοφάνει 〈Nub. 153〉 ὦ Ζεῦ βασιλε ῦ , τῆς λεπτότητος τῶν φρενῶν, ἀντὶ τοῦ «βαβαὶ τῆς λεπτότητος», ἔξωθεν προσυπακούεται τὸ ἕνεκα. Ποσαχῶς γίνονται τὰ τῆς μεσότητος ἐπιρρήματα; Πενταχῶς· κατὰ ἔπαινον, ὡς τὸ καλῶς σοφῶς· κατὰ ψόγον, ὡς τὸ πονηρῶς ἀθέως· κατὰ ἐπιτήδευμα, ὡς τὸ γραμματικῶς ῥητορικῶς· κατὰ μετουσίαν, ὡς τὸ σαρκικῶς ἀνθρωπικῶς· κατὰ ἐναλλαγήν, ὡς τὸ ἄλλως ἐκείνως. § 20 (25b). Περὶ συνδέσμου. Σαφῶς καὶ εὐτάκτως καὶ τεχνικῶς etc. = Σ h 102, 5—13. Ἰστέον ὅτι σύνδεσμος διὰ τοῦτο ἐκλήθη, διὰ τὸ συνδεῖν καὶ συνέχειν καὶ ὥσπερ εἰπεῖν συνάγειν τὴν ἐν τοῖς μέρεσι τοῦ λόγου δηλουμένην διάνοιαν· ἐὰν γὰρ εἴπω τι ῥητὸν ἄνευ συνδέσμων, ἀφανὴς ἡ διάνοια μένει. Εὐλόγως τοίνυν ὁ σύνδεσμος ἐν τοῖς τοῦ λόγου μέρεσι τελευταῖος τέτακται· δεῖ γὰρ προευτρεπίζεσθαι τὰ συνδεθησόμενα. Ἰστέον δὲ πάλιν, ὅτι τὸν περὶ συνδέσμου λόγον τελευταῖον τέταχεν ὁ τεχνικός· καὶ εἰκότως, εἰ σύνδεσμος λέγεται παρὰ τὸ συνδεῖν καὶ συνδεσμεῖν καὶ συμπλέκειν, δεῖ δὲ πρὸ τῶν συνδέσμων τὰ δεσμευόμενα προευτρεπίζεσθαι, ἀναγκαίως μετὰ τὰ προειρημένα μέρη τοῦ λόγου παρὰ τῷ τεχνικῷ ἔσχατος παρείληπται. Ὁ δὲ Ἀπολλώνιος ὁριζόμενός φησι σύνδεσμον εἶναι συνδετικὸν μόριον τῶν τοῦ λόγου μερῶν.

436 Δεῖ δὲ γινώσκειν, ὅτι καθ' ἑαυτὸν ὁ σύνδεσμος οὐδὲν σημαίνει, συντασσόμενος δὲ τὰ ἐλλείποντα ἢ κεχηνότα ἢ διαλελυμένα συσφίγγει. Καὶ εἰσὶ τρόποι ἤγουν διαφοραὶ τῶν συνδέσμων ὀκτώ. Σύνδεσμός ἐστι λέξι ς.] Προσθεῖναι δεῖ τὸ «ἄκλιτος», ἵν' ᾖ ὁ λόγος οὕτως· «σύνδεσμός ἐστι λέξις ἄκλιτος καὶ ἀκίνητος, συνδετικὸς τῶν τοῦ λόγου μερῶν, [ἐν] οἷς καὶ συσσημαίνει, τάξιν ἢ δύναμιν παριστάνουσα». Σύνδεσμος δὲ καὶ οὐ δεσμός, ἐπεὶ δεσμὸς καὶ ἐφ' ἑνός, σύνδεσμος δὲ ἐπὶ δύο ἢ καὶ πλειόνων χαρακτηρίζεται· ἐν τούτῳ γὰρ διαφέρει τοῦ δεσμοῦ σύνδεσμος. Παρέπεται δὲ τῷ συνδέσμῳ etc. = Σ v 283, 7—12. Σύνδεσμος οὖν ἐστι λέξις συνδέουσα διάνοιαν μετὰ τάξεω ς.] Προστιθέναι πάλιν δεῖ «καὶ 〈συσ〉 σημαίνουσα τῇ διανοίᾳ», ἵν' ᾖ πάλιν οὕτως ὁ λόγος «συνδέουσα διάνοιαν καὶ 〈συσ〉 σημαίνους τῇ διανοίᾳ». «Μετὰ τάξεως» προστιθέναι πάλιν δεῖ «καὶ δυνάμεως», ἵν' ᾖ ὁ λόγος «μετὰ τάξεως καὶ δυνάμεως», ἐπεί τινες τῶν συνδέσμων ἐν τάξει μὲν παραλαμβάνονται, τὴν δὲ δύναμιν τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πράγματος οὐκ ἐπαγγέλλονται, τινὲς δὲ οὐκ ἐν τάξει, ἀλλὰ τὴν δύναμιν ἐπαγγέλλονται, ἄλλοι δὲ καὶ ἐν τάξει παραλαμβάνονται καὶ τὴν δύναμιν ἐπαγγέλλονται τοῦ πράγματος. Καὶ ἔστι τὰ παραδείγματα ταῦτα .... Καλῶς τοίνυν προσέθηκεν ὁ τεχνογράφος τὸ «μετὰ τάξεως»· ἀκολουθίᾳ γὰρ ἕκαστος καὶ τάξει τίθεται, ποτὲ συμπλεκτικός, ποτὲ διαζευκτικός, καὶ ἕκαστος τῶν ἄλλων πρὸς τὴν ὑποκειμένην δύναμιν. — Καὶ τὸ τῆς ἑρμηνείας κεχηνὸς δηλοῦσ α.] Τοῦτό φησι διὰ τοὺς διαζευκτικοὺς συνδέσμους· ἐκεῖνοι γὰρ τὸ τῆς ἑρμηνείας, ὅ ἐστι τὸ τῆς διανοίας, διεζευγμένον καὶ διεστηκὸς δηλοῦσιν. Δοκεῖ τοίνυν ὑπεναντία ἑαυτῷ εἰρηκέναι ὁ τεχνογράφος· προειπὼν γάρ, ὅτι ὁ σύνδεσμος οὐδὲν ἄλλο ποιεῖ ἢ συνδεῖ καὶ οὐκ ἐᾷ χαυνωθῆναι οὔτε τὸ ῥητὸν οὔτε τὴν διάνοιαν, ἐνταῦθα [δὲ] τὸ ἐναντίον φησίν, ὅτι ὁ σύνδεσμος τὸ τῆς ἑρμηνείας κεχηνὸς δηλοῖ, δέον εἰπεῖν ὅτι συνάγει καὶ συστρέφει. Ἀλλὰ τὸ «δηλοῦσα» οὕτω νοητέον, ὅτι τότε δηλοῦσα, ὅτε οὐ συντέτακται· διελέγχεται γὰρ μὴ παρόντος τοῦ συνδέσμου καὶ τὸ τῆς ἑρμηνείας χαῦνον καὶ τὸ ἄδηλον τῆς διανοίας. Διαφοραὶ δὲ συνδέσμων εἰσὶν ὀκτώ. Τί σημαίνει ἑρμηνεία; Τὴν φράσιν· ὁ γὰρ σύνδεσμος τὰ κῶλα καὶ κόμματα συναρμόττει αὐτῷ, τουτέστι δι’ ἑαυτοῦ· καὶ κατά τι μὲν συνδέει τὴν διάνοιαν, κατά τι δὲ τὸ διεζευγμένον αὐτῆς ὑποδεικνύει. Τί σημαίνει κεχηνός; Τὸ διακεχωρισμένον.

437 Διὰ τί πάντων τῶν τοῦ λόγου μερῶν ἔσχατος ἐτέθη ὁ σύνδεσμος; Ἵνα συνδήσῃ καὶ συνδεσμεύσῃ πάντα τὰ πρὸ αὐτοῦ λεχθέντα μέρη τοῦ λόγου. Τῶν δὲ συνδέσμων οἱ μέν εἰσι συμπλεκτικο ί , οἱ δὲ διαζευκτικο ί , οἱ δὲ συναπτικο ί , οἱ δὲ παρασυναπτικο ί , οἱ δὲ αἰτιολογικο ί , οἱ δὲ ἀπορηματικο ί , οἱ δὲ συλλογιστικο ί , οἱ δὲ παραπληρωματικο ί . Συμπλεκτικοὶ μὲν οὖν εἰσιν ὅσοι τὴν μὲν διάνοιαν ἐ π ’ ἄπειρον ἐκφερομένην συνδέουσιν · εἰσὶ δὲ οἵδ ε , μέν δέ τέ καί ἀλλά ἠμέν ἠδέ ἀτάρ αὐτάρ ἰδέ ἤτοι κέν ἄ ν.] Οὗτοι, φησίν etc. = Σ h 103, 15—22 (ἀνέγνων). —Λέγει δὲ τοὺς συμπλεκτικοὺς οἰκείους παρὰ τῷ συνδέσμῳ· καὶ ὄντως etc. = Σ v 286, 24—26. Χρὴ δὲ εἰδέναι, ὅτι οὐ δεῖ etc. = Σ h 103, 27—30. Ἴσθι μέντοι ὅτι τῶν συμπλεκτικῶν συνδέσμων αἱ μὲν φωναὶ πλείους εἰσί, τὰ δὲ σημαινόμενα ὀλιγώτερα· αὐτίκα γὰρ 〈ὁ τέ καὶ〉 ὁ ἠδέ καὶ ὁ ἰδέ [καὶ ὁ ἀλλά] καὶ ὁ ἠμέν ἀντὶ τοῦ καί παραλαμβάνονται· ἐπὰν δέ τι ὁ συμπλεκτικὸς συμπλέκῃ [ὅμοιον] ἐν τῇ τάξει ὄνομα, ὡς πρὸς ἕτερον συμπλέκει ὄνομα, καὶ εἰ ῥῆμα, ὁμοίως, καὶ ἀντωνυμία〈ν〉, καὶ ἁπλῶς εἰπεῖν τἆλλα μέρη τοῦ λόγου· ἐὰν γὰρ εἴπωμεν, ὅτι «Ἀγαμέμνων ἐπολέμησε καὶ ἐνίκησε» καὶ πάλιν «Ἀγαμέμνων στρατηλατήσας καὶ πολιορκήσας τὴν Τροίαν παρείληφε» .... Συμπλεκτικοὶ μὲν ἐκλήθησαν ἀπὸ τοῦ συμπλέκειν. Τί δὲ συμπλέκουσι; Τὴν ἐπ’ ἄπειρον χωροῦσαν ἑρμηνείαν, οἷον 〈Β 494—496〉 Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήϊτος ἦρχον Ἀρκεσίλαός τε Προθοήνωρ τε Κλονίος τε, οἵ θ’ Ὑρίην ἐνέμοντο καὶ Αὐλίδα πετρήεσσαν· ταῦτα πάντα καὶ τὰ ἑξῆς ἐπὶ μήκιστον προφερόμενα οἱ συμπλεκτικοὶ σύνδεσμοι εἰς ἄλληλα συμπλέκουσι καὶ ὥσπερ εἰπεῖν συνυφαίνουσιν. Εἰσὶ δὲ τὸν ἀριθμὸν ιγʹ. Ἰστέον δὲ ὅτι τῶν συμπλεκτικῶν etc. = Σ v 285, 5—10; 14—16; 285, 20—286, 4. Ἔστι δὲ γνῶναι καὶ τοῦτο, ὅτι ὁ μέν σύνδεσμος καὶ μονοσύλλαβός 〈ἐστι〉 καὶ ἀπὸ βραχείας ἀρξάμενος καὶ εἰς βραχεῖαν καταλήγων καὶ φιλαρκτικός [ἐν ἀρχῇ φράσεως ἐντιθέμενος]· τοῦτο οὖν ἐν ἀρχῇ στίχου ἢ λόγου ποιητὴς ἐμμέτρως παραλαμβάνειν ἠδυνάτει· ἐχρήσατο τοίνυν τῷ ἤτοι διαζευκτικῷ ὄντι, ὡς ἐν καταχρήσει, ἀντὶ τοῦ μέν. Εἰ δέ τις λέγοι, «καὶ εἴ γε τῷ ἤτοι ἀντὶ τοῦ μέν κέχρηνται ποιηταί, τίνος χάριν καὶ τοῦ μέν ἐμνημόνευσαν καὶ τὸν ἤτοι κατατάξαντες; ἐχρῆν γὰρ αὐτοὺς ἀρκεῖσθαι τῇ συντάξει τοῦ ἤτοι»· λέγομεν ὅτι παρὰ τοῖς ποιηταῖς πολλάκις ἐκ παραλλήλου σχῆμα γίνεται, ὡς ἔχει τὸ 〈Β 305〉 ἀμφὶ περὶ κρήνην καὶ τὸ 〈ex gr.
438 Β 8〉 βάσ κ ’ ἴθ ι· οὐδὲν οὖν ἄτοπον, καὶ ἐν τῷ 〈Hes. Theog. 116〉 ἤτοι μὲν πρώτιστα Χάος γένε τ ’ τὸ σχῆμα τῆς παραλληλότητος φυλάττεσθαι· οὗτος οὖν ὁ σύνδεσμος ὁ διαζευκτικὸς καθ’ ἑαυτὸν παρὰ τοῖς ποιηταῖς ἀντὶ τοῦ μέν. Διαφέρει δὲ etc. = Σ h 103, 35—104, 7 et 104, 10—16. —Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ὁ μέν δέ τέ καί ἀλλά ἀτάρ 〈ἄν〉 μέσοι, ὁ δὲ ἠμέν ἠδέ ἰδέ αὐτάρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[ἀλλά] κέν ποιητικοί· μόνος οὖν ἀπὸ τοῦ ἀτάρ ὁ αὐτάρ κατὰ πλεονασμὸν τοῦ υ . Διαζευκτικοὶ δέ εἰσιν ὅσοι τὴν μὲν φράσιν ἐπισυνδέουσι ν , ἀπὸ δὲ πράγματος εἰς πρᾶγμα διιστῶσιν · εἰσὶ δὲ οἵδ ε , ἤ ἤτοι ἠ έ.] Πῶς σύνδεσμοι λέγονται etc. = eadem fere quae Σ h 104, 10—29 (ἐπαγγέλλ.). Ἄξιόν ἐστι ζητῆσαι, τί δή ποτε etc. = Σ ν 287, 28—34. Δοκεῖ γάρ, ὡς εἴρηται, ὁ διαζευκτικὸς τὴν ἐναντίαν προσηγορίαν ἔχειν τῷ συνδέσμῳ· ἀλλὰ συνδεῖ μὲν τὴν φράσιν, τὰ δὲ πράγματα ἀπ' ἀλλήλων διιστᾷ, ὡς ὅταν λέγωμεν «ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ». Διό μοι δοκεῖ ὁ τεχνογράφος καὶ πλέον τι τῷ διαζευκτικῷ συνδέσμῳ προσνεῖμαι, τὸ «ἐπί»· «ἐπισυνδέουσι» γὰρ εἶπεν, οὐχ ἁπλῶς «συνδέουσιν», ἐκ τούτου δηλαδὴ σημαίνων, ὅτι οὐ μόνον οὐ διαζευγνύουσιν οὗτοι οἱ σύνδεσμοι, ἀλλὰ καὶ πάνυ συνάπτουσι τὴν φράσιν, ὡς ἀπεδείχθη. Εἰσὶ δὲ τὸν ἀριθμὸν οἱ διαζευκτικοὶ τρεῖς, ἤ ἤτοι ἠέ· εἰσὶ δὲ τούτων τῶν διαζευκτικῶν οἱ μὲν ποιητικοί, οἱ δὲ πεζοί, οἱ δὲ κοινοί· ὥσπερ ὁ 〈ἤ〉 μέσος ἐστὶ καὶ ὁ ἤτοι, ὁ μέντοι ἠέ ποιητικός· εἴτε δὲ ποιητικοὶ εἴτε μέσοι, ὡς εἴρηται, 〈διὰ τὴν〉 διάζευξιν ὁμολογοῦσιν. Ἤτοι τῶν ἄλλων, ἤ τοῦ ἠέ ἢ ἑαυτοῦ ἀεὶ προτάττεται· ὁ γὰρ ἤ καὶ ἐν ἀρχῇ καὶ δευτέρως λαμβάνεται, «ἤτοι φῶς ἐστιν ἢ σκότος». Χρὴ δὲ εἰδέναι etc. = Σ h 104, 34—105, 3. Συναπτικοὶ δέ εἰσιν ὅσοι ὕπαρξιν μὲν οὐ δηλοῦσ ι , σημαίνουσι δὲ ἀκολουθίαν καὶ τάξιν · εἰσὶ δὲ οἵδ ε , εἴ εἴπερ εἰδή εἰδήπε ρ.] Ἴδιον συνδέσμου ἐστὶν τὸ τάξιν ἢ δύναμιν σημαίνειν, ἔσθ' ὅτε δὲ καὶ τὰ δύο· οἱ μέντοι συναπτικοὶ τάξιν μόνην ἐπαγγέλλονται, οὐ μέντοι, ὥσπερ αὐτὸς ὁ τεχνικὸς ἐδίδαξε, καὶ ὕπαρξιν, ὡς ἐὰν εἴπωμεν «εἰ φιλομαθὴς 〈εἶ〉 , ἔσῃ πάντως [ὅτι] καὶ πολυμαθής»· ἐνταῦθα ἡ τάξις ἔρρωται· 〈δῆλον〉 μὲν γὰρ ὅτι ὁ ἐκθύμως ἔχων πρὸς τὰ ἀναγνώσματα [ἐστὶ φιλομαθής], ἔσται πάντως πολυμαθής· ἐνταῦθα τὴν μὲν τάξιν ἐσήμανεν, ἀλλ' ὑπάρξεως μὴ οὔσης· καὶ αὕτη ἐστὶν ἡ δύναμις τῶν συναπτικῶν συνδέσμων. Παρακολουθεῖ οὖν τοῖς συναπτικοῖς συνδέσμοις τὸ πρᾶγμα ὕπαρξιν μὲν ἔχειν μὴ δηλοῦν, ἀκολουθίαν δὲ ἔχειν πρὸς ἕτερον πρᾶγμα καὶ ἐπισύρειν τι ἕτερον πάντως, οἷον «εἰ ἡμέρα ἐστί, δῆλον ὅτι φῶς ἐστιν».

439 Εἴ εἴπερ εἰδή εἰδήπε ρ.] Ὁ εἴ σύνδεσμος συναπτικὸς ἀντὶ τοῦ ἐάν ἐστιν, ὡς ἐν τῷ «εἰ φῶς ἐστιν, ἡμέρα ἐστίν»· καὶ ἀντὶ τοῦ ὥς ὁμοιωματικοῦ, «εἰ ζῷον ἵππος, καὶ ὄνος ζῷον»· καὶ ἀντὶ τοῦ ἐπεί παρασυναπτικοῦ, 〈cfr Soph. fr. 877 N 2 〉 εἰ δεινὰ δέδρακα ς , δεινὰ καὶ παθεῖν σε δε ῖ. Φασί τινες, ὅτι κοινῆς ἔχονται σημ. etc. = Σ h 105, 8—16. Παρασυναπτικοὶ δέ 〈εἰσιν〉 ὅσοι με θ ' ὑπάρξεως καὶ τάξιν δηλοῦσιν · εἰσὶ δὲ οἵδ ε , ἐπεί ἐπείπερ ἐπειδή ἐπειδήπε ρ.] Ἰστέον ὅτι οἱ παρασυναπτικοὶ τοῦτο πλέον ἔχουσι τῶν συναπτικῶν, ὅτι οὐ μόνον τάξιν ἔχουσι καὶ ἀκολουθίαν, ἀλλὰ καὶ ὕπαρξιν τοῦ πράγματος δηλοῦσι· λέγω γὰρ «ἐπειδὴ ἡμέρα ἐστί, φῶς ἐστι» καὶ «ἐπειδὴ ἄνθρωπός ἐστι, ζῷον λογικόν ἐστι θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν», καὶ οὐκ ἀμφιβόλως, ὡς ἐπὶ τῶν συναπτικῶν. Παρασυναπτικοὶ δὲ ἐκλήθησαν, ἐπειδὴ ἀπὸ τῶν συναπτικῶν γεγόνασιν, ὁ ἐπεί ἀπὸ τοῦ εἴ, ὁ ἐπείπερ ἀπὸ τοῦ εἴπερ, ὁ ἐπειδή ἀπὸ τοῦ εἰδή, 〈ὁ ἐπειδήπερ ἀπὸ τοῦ εἰδήπερ〉 · εἰσὶ δὲ τὸν ἀριθμὸν οἱ παρασυναπτικοὶ ὅσοι οἱ συναπτικοί. Ἐπεί ἐπείπερ ἐπειδή ἐπειδήπε ρ.] Οὗτοι etc. = Σ ν 289, 2—14. Αἰτιολογικοὶ δέ εἰσιν ὅσοι ἐ π ' ἀποδόσει αἰτίας ἕνεκεν παραλαμβάνονται · εἰσὶ δὲ οἵδ ε , ἵνα ὄφρα ὅπως [ ἐάν ἄ ν ] ἕνεκα οὕνεκα 〈γάρ ὅτι〉 δ ι ' ὅ δ ι ' ὅτι κα θ ' ὅ κα θ ' ὅτι κα θ ' ὅσο ν . —Αἰτιολογικοὶ δέ εἰσι ν.] Ἐνταῦθα etc. = Σ ν 290, 3—6. 〈Heliodori.〉 — Ὅσοι ἐ π ' ἀποδόσε ι.] Αὐτάρκως σχεδὸν ἐκ τῆς ἐτυμολογίας μόνης σημαίνει τὴν διαφορὰν τῶν συνδέσμων· ἀπὸ τούτου, φησίν, ἐκλήθησαν αἰτιολογικοί, ἀπὸ τοῦ αἰτίας ἕνεκεν παραλαμβάνεσθαι· λέγω γὰρ «εἰς διδασκάλου ἀπέρχομαι, ἵνα παιδευθῶ». Καὶ τὸ ὄφρα δὲ ἐνίοτε σύνδεσμος αἰτιολογικός, ὡς ἐκεῖ 〈Δ 300〉 ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίῃ πολεμίζο ι· ἔστι δὲ καὶ ἐπίρρημα καιροῦ παραστατικόν. Καὶ ἕκαστος δὲ τῶν αἰτιολογικῶν ἐπ' ἀποδόσει ἐπάγεται· εἰσὶ δὲ τὸν ἀριθμὸν οὗτοι 〈ι'〉 . — Ἵνα ὄφρα ὅπως [ ἐάν ἄ ν ] ἕνεκα οὕνεκα γάρ 〈ὅτι〉 δ ι ' ὅ δ ι ' ὅτι κα θ ' ὅ κα θ ' ὅτι κα θ ' ὅσο ν.] Τούτων ὁ γάρ ὅτι δι' ὅτι καθ' ὅτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προϋφεστῶσαν τῶν αἰτιολογουμένων σημαίνουσιν αἰτίαν, οἷον [ἵνα ἀναγνῶ] «ἐτιμήθην, ἀνέγνων γάρ», «ἐτιμήθην, ὅτι ἀνέγνων, δι' ὅτι ἀνέγνων, καθ' ὅτι ἀνέγνων».

440 Τὸ οὕνεκα τοῦ ἕνεκα διαφέρει χρήσει καὶ συντάξει· ὁ μὲν οὖν οὕνεκα ῥήματι συντάσσεται, οἷον 〈A 11〉 οὕνεκα τὸν Χρύσην ἠτίμη ς ' ἀρητῆρα Ἀτρείδης, τὸ δὲ ἕνεκα πτώσει γενικῇ, οἷον 〈Z 356〉 εἵνε κ ' ἐμεῖο κυνὸς καὶ Ἀλεξάνδρου ἕνε κ ' ἄτη ς, 〈β 206〉 εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν, ποιητικῶς τοῦ ι πλεονάσαντος· ὁ δὲ συντάττων τὸ ἕνεκα ῥήματι σύγχυσιν ποιεῖ. Καὶ τὸ χάριν καὶ ἕφεξιν αἰτιατικαὶ θηλυκῶν εὐθειῶν τῆς χάρις καὶ ἔφεξις ἀντὶ τοῦ ἕνεκα· πρὸς γενικὴν δὲ συντάσσεται, «χάριν Ἀπολλωνίου», «ἕφεξιν αἰδεῖ τῶνδε», «προυτίμησέ με ἕφεξιν τῶνδε». Ὁ δὲ ἵνα ὄφρα καὶ ὅπως καὶ σύνδεσμοι καὶ ἐπιρρήματα· καὶ τὸ χάριν δὲ αἰτιολογικός ἐστι σύνδεσμος, ἀλλ' ἐπειδὴ καὶ ὄνομά ἐστιν, οὐ τέθεικεν αὐτό, ὡς ἐκεῖ 〈ε 307〉 χάριν Ἀτρείδῃσι φέροντε ς· ἐνταῦθα γὰρ ὄνομά ἐστι· καὶ πολλαχοῦ δέ ἐστιν αἰτιολογικὸν τὸ χάριν. — Καὶ τοῦτο δὲ ἐπισημήνασθαι ἀναγκαῖον, ὅτι διὰ τοῦτο ὁ τεχνογράφος οὗτος οὐδαμοῦ ποσότητα συνδέσμων τέθεικεν, ἐπειδὴ διαφέρονται οἱ τεχνογράφοι πάντες περὶ τῆς τῶν συνδέσμων ποσότητος· ἡμεῖς δὲ 〈τοὺσ〉 τούτῳ τέως ἀρέσκοντας ἀπηριθμησάμεθα. Ἀπορηματικοὶ δὲ λέγονται σύνδεσμοι ὅσοι ἐπαποροῦντες εἰώθασι συνδεῖν καὶ χρῆσθαι · εἰσὶ δὲ οἵδ ε , ἆρα κᾶτα μῶ ν.] Ἀπορηματικοὶ λέγονται σύνδεσμοι ὅσοις εἰώθαμεν χρῆσθαι περί τινος ἀμφισβητοῦντες etc. = Σ d 65, 16—20. 〈Heliodori.〉 —Διὰ τοῦτο δὲ ἀπορηματικοὶ καλοῦνται, ἐπεὶ διαποροῦντες αὐτοῖς χρώμεθα. Ἴδιον δὲ τῶν ἀπορηματικῶν συνδέσμων τὸ ἐκτείνεσθαι· διὰ τοῦτο δὲ ἐπεσημηνάμεθα, ὅτι καὶ ἐν τοῖς παραπληρωματικοῖς ὁ ἄρα σύνδεσμος ἐμπίπτει, καὶ ἐν τοῖς συλλογιστικοῖς δὲ ὁμοίως ἑξῆς 〈αὐτὸν〉 ἐπάγει· ἀλλ' ὅτε ἐστὶ παραπληρωματικὸς ἢ συλλογιστικὸς συστέλλεται. Εἰσὶ δὲ τὸν ἀριθμὸν τρεῖς, ἆρα κᾶτα μῶν. Ὁ ἆρα ποιητικῶς εἴρηται ἦρα· ὅτε μὲν ἀπορηματικός, οὕτω ποιεῖ μεταβολὴν παρὰ τοῖς ποιηταῖς τοῦ α εἰς η , ὅτε δὲ συλλογιστικός, οὐκέτι. Πάλιν δὲ καὶ τὸ μῶν πέπονθε, μὴ οὖν, ὡς ἐν ἀμφισβητήσει, ὡς εἴ τις εἴποι «μὴ οὖν κακοῦργος ἔλαβες παρὰ κακούργων;» καὶ διὰ τοῦτο ὡς ἐν ἀπορίᾳ ἐρευνᾷ. Ἆρα κᾶτα μῶ ν.] Ὁ ἆρα etc. = Σ v 290, 11—27. 〈Heliodori.〉 —Καὶ πῶς ἐπάγεται τῷ 〈μῶν τὸ〉 μή· μῶν μὴ πα ρ ' αὐτῇ Νικίας ἀναπαύετα ι; Εὔπολις. Ὡς 〈τ 343〉 ποδάνιπτρα ποδῶν, 〈γ 472〉 οἶνον ἐνοινοχοεῦντε ς.

441 Ἀλλ' οὐδεμία λέξις τριγράμματος σύνθετος· ὅθεν τὸ μῶν ἁπλοῦν. Συλλογιστικοὶ δὲ ὅσοι πρὸς τὰς ἐπιφοράς τε καὶ συλλήψεις τῶν ἀποδείξεων εὖ διάκεινται · εἰσὶ δὲ οἵδ ε , ἄρα ἀλλά ἀλλαμήν τοίνυν τοιγάρτοι τοιγαροῦ ν.] Συλλογιστικοί εἰσιν etc. = Σ h 105, 27—30. Συλλογιστικοί εἰσι σύνδεσμοι, ὅσοις συλλογιζόμενοι πολλάκις ἐν συντάξει χρώμεθα καὶ ἐν ταῖς ἀποδείξεσιν, ὡς κεῖται παρ' αὐτῷ. «Ἐπιφοράν» δὲ λέγει τὴν ἐπαγωγὴν τοῦ ἑξῆς λόγου, καὶ «σύλληψιν» τὴν ἐπισφράγισιν καὶ συναγωγὴν τοῦ προηγησαμένου λόγου, οἷον ἐπὶ παραδείγματος «εἰ ἡμέρα ἐστί, φῶς ἐστιν»· εἶτα οἱ συλλογιστικοὶ εὐθὺς ὁμοῦ τὴν ἀπόδειξιν ἐπιφέρονταί τε καὶ συλλαμβάνονται· «ἀλλαμὴν ἡμέρα ἐστίν· φῶς ἄρα ἐστίν». Συλλογιστικοὶ οὖν ἐκλήθησαν, ἐπειδὴ ταῖς ἐπιφερομέναις ἀποδείξεσι συνάπτονται· τέθεικε δὲ τοὺς πάντας οὕτως ἕξ, ἄρα ἀλλά ἀλλαμήν τοίνυν τοιγάρτοι τοιγαροῦν [οὐκοῦν]. Ἰστέον ὅτι ἐπιφορικοὶ etc. = Σ d 65, 27—31. Παραπληρωματικοὶ δὲ ὅσοι μέτρου ἢ κόσμου [αἰτίας] ἕνεκεν παραλαμβάνονται · εἰσὶ δὲ οἵδ ε , δή ῥά νύ ποῦ τοί θήν ἄρ δῆτα πέρ πώ μήν ἄν αὖ οὖν κέν γέ νύν [θέν] δα ί.] Οἱ παραπληρωματικοὶ etc. = Σ h 105, 31—106, 11. Παραπληρωματικοὶ δὲ ἐκλήθησαν, ἐπεὶ μάλιστα τοῦ πληρῶσαι ἕνεκεν τὸ μέτρον τίθενται μετὰ τοῦ καὶ κόσμον τινὰ παρέχειν τῷ λόγῳ· πρὸς γὰρ νόησιν οὐδὲν συντείνουσιν, οἷον 〈B 291〉 ἦ μὴν καὶ πόνος ἐστί ν· τούτου τοῦ ἔπους τὸ σημαινόμενον φανερόν, κἂν μὴ λέγηται ὁ μήν σύνδεσμος· τὸ γὰρ ἦ καθ' ἑαυτὸ περισπώμενον τὸ ὄντως σημαίνει· ὁ δὲ μήν παρελήφθη διὰ τὸ μέτρον ἅμα καὶ διὰ κόσμον· ὁμοῦ γὰρ ἀμφότερα παρέχουσιν οἱ παραπληρωματικοί, μέτρον ἅμα καὶ κόσμον· τέθεικε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ ὁ τεχνογράφος τοὺς πάντας ιϛʹ. Ἀλλὰ καὶ τὸ νῦν ὅτε μὲν περισπᾶται, ἐπίρρημά ἐστι χρονικόν, ὅτε δὲ συστέλλεται, σύνδεσμός ἐστι παραπληρωματικός, ὡς ἐκεῖ 〈Ψ 485〉 δεῦρό νυ ν , ἢ τρίποδος περιδώμεθον ἠὲ λέβητος, ἀντὶ τοῦ «δεῦρο δή». Οἱ δὲ τοιοῦτοι παρειλημμένοι εἰσὶ τοῖς ποιηταῖς ἢ διὰ τὴν στενότητα τῶν μέτρων ἢ διὰ καλλωπισμὸν τῆς φράσεως, ὡς καὶ αὐτὸς ὁ τεχνικὸς ὁμολογεῖ. —Παραπληρωματικοὶ σύνδεσμοί εἰσιν, ὅσοι πρὸς τὸ 〈μὴ〉 κεχηνέναι τὴν φράσιν παραλαμβάνονται. Δή ῥά νύ ποῦ τοί θήν ἄρ δῆτα πέρ πώ μήν ἄν αὖ οὖν κέν γέ ποῖ [θέν] δα ί.] Ὡς τὰ μετὰ τὰ ἐρωτηματικὰ λέγεται · ὅτι δὲ οἱ ποιηταὶ ἐνηλλαγμένως τιθέασι, καθάπερ Ὅμηρος, τὸν μέν ἀντὶ τοῦ μήν, καὶ τὸν ἄρα ἀντὶ τοῦ δή· ἰσοδυναμεῖ δὲ ὁ ἄρα τῷ δή καὶ ὁ δή τῷ ἄρα· καὶ ἐπὶ τῶν παραπλησίων τηρητέον ὁμοίως.

442 Ὁ πέρ ἐναντιωματικός ἐστιν, οἷον 〈Α 131〉 ἀγαθός περ ἐώ ν· ὁ δή παραγραφὴν δηλοῖ, ἥτις ἐστὶ καὶ συγκεφαλαίωσις· τούτῳ ἰσοδυναμοῦσιν ὁ θήν, ὁ νύ, ὁ ἄρα, μᾶλλον αὐτοῦ ποιητικοὶ ὄντες· ἐγκλιτικοὶ δέ εἰσιν οὕτως, 〈Κ 104〉 οὔ θην Ἕκτορι πάντα νοήματα, 〈ζ 125?〉 ἤ νύ σέ πο υ. Μόνος τῶν συνδέσμων ὁ δή ἐπεκτείνεται, οἷον δῆτα· οὐ γὰρ ὁ δῆτα ἀπὸ τοῦ δή καὶ τοῦ εἶτα, ἐπεὶ τοῦτο χρονικὴν διάστασιν ἔχει, οἷον «Ἀχιλλεὺς ἐπολέμησεν, εἶτα Πύρρος»· «Ἀχιλλεὺς» δὲ «ἐπολέμησε, δῆτα Πύρρος» οὐκ ἄν τις φαίη. Ὁ αὖ καὶ τὸ ταρ οὐ ποιοῦσι τὸν αὐτάρ· ὁ μὲν γὰρ αὐτάρ συμπλεκτικός, ὁ δὲ αὖ παραπληρωματικός. Ὁ ἄρ καὶ ὁ ῥά δύνανται γενέσθαι ἀπὸ τοῦ ἄρα. Τινὲς δὲ προστιθέασι καὶ ἐναντιωματικού ς , οἷον ἔμπης ὅμω ς.] Ἐναντιωματικοὶ λέγονται γοῦν οὗτοι οἱ σύνδεσμοι, ὅτι τότε χρώμεθα αὐτοῖς, ὅτε τὸ ἐναντίον τῷ προηγησαμένῳ λόγῳ εἰπεῖν βουλόμεθα, οἷον «ὁ δεῖνα ἀφυὴς μέν ἐστι πρὸς παίδευσιν, ὅμως δὲ φοιτᾷ τῷ διδασκάλῳ»· ἐναντίον γάρ ἐστι τῷ προηγησαμένῳ τῷ «ὁ δεῖνα ἀφυής ἐστι πρὸς παίδευσιν»· καὶ τὸ ἔμπης τὸ αὐτὸ σημαίνει· Ὅμηρος 〈Β 297 seq〉 ἀλλὰ καὶ ἔμπης Αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι, ὅπερ σημαίνει τὸ μὴ χρῆναι ἐπανελθεῖν ἀπράκτους ὄντας. Τέλος τῆς Διονυσίου τέχνης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org